45. Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω (I might take) αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι (to lay) αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν (to take) αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:17-18)

46. Καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ ἔλεγον ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν (did) οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ (true) ἦν.

47. Τότε (then) οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παρρησίᾳ (plainly), Λάζαρος ἀπέθανεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:14)

48. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφούς, ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνῄσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνῄσκει·

49. Οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 2:34)

50. Καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων (seeing), καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν. Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπεν πρὸς αὐτὸν ὁ κύριος ἐν ὁράματι (vision), Ἀνανία. Ὁ δὲ εἶπεν, Ἰδοὺ ἐγώ, κύριε.

51. Εὗρον Δαυὶδ τὸν τοῦ Ἰεσσαί, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. Τούτου ὁ θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγαγεν τῷ Ἰσραὴλ σωτηρίαν… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 13:22-23)

52. …δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν (apostleship) εἰς ὑπακοὴν (obedience) πίστεως ἐν πᾶσιν τοῖς ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ…

53. Διὰ τοῦτο, ὥσπερ (just as) δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν (passed to)… (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 5:12)

54. Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς (how) ἔτι (still) ζήσομεν ἐν αὐτῇ;

55. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (live with) αὐτῷ· (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:8)

56. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ…

57. Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι (do you boast)… (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 4:7)

58. Ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ κυρίου, ὃ καὶ παρέδωκα (I delivered) ὑμῖν, ὅτι ὁ κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον…

59. Παρέδωκα (I have delivered) γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 15:3)

60. Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει (surrounds) ἡμᾶς, κρίναντας (judging) τοῦτο, ὅτι ⌜εἰ⌝ εἷς ὑπὲρ πάντων ἀπέθανεν, … οἱ πάντες ἀπέθανον·

61. Οὐκ ἀθετῶ (I do … set aside) τὴν χάριν τοῦ θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιοσύνη, … Χριστὸς δωρεὰν (in vain) ἀπέθανεν. (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 2:21)

62. Τοῦτο μόνον θέλω μαθεῖν (to learn) ἀφ' ὑμῶν, ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς (hearing) πίστεως;

63. …Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης (female slave), καὶ ἕνα ἐκ τῆς ἐλευθέρας (a free woman). (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 4:22)

64. Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ περιπατεῖτε (walk)…

65. Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται (has been hidden) σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. (ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ 3:3)

66. Πιστὸς ὁ λόγος … ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς (sinners) σῶσαι (to save), ὧν πρῶτός εἰμι ἐγώ·

67. Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες (having received) τὰς ἐπαγγελίας… (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 11:13)

68. Ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν·

69. …ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς (wrath) αὐτοῦ, καὶ τίς δύναται σταθῆναι (to stand); (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 6:17)

70. καὶ ἐξῆλθεν φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ, ἀπὸ τοῦ θρόνου, λέγουσα (saying)…

18.5 VOCABULARY

Verbs

1. **ἁμαρτάνω** — I sin
   a. ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος **ἁμαρτάνει**. — 1 John 3:8
      because from the beginning the devil **has sinned**
   b. πάντες γὰρ **ἥμαρτον** καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ — Rom 3:23
      for all **sin** and fall short of the glory of God

2. **ἀνοίγω** — I open — Rev 5:2
   Τίς ἄξιός ἐστιν **ἀνοῖξαι** τὸ βιβλίον
   Who is worthy **to open** the book?

3. **ἀπολύω** — I destroy, release, divorce — Matt 1:19
   ἐβουλήθη λάθρα **ἀπολῦσαι** αὐτήν.
   he planned secretly **to divorce** her.

4. **βαπτίζω** (βαπτιδ*) — I baptize — Matt 3:11
   Ἐγὼ μὲν **βαπτίζω** ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν·
   I, on the one hand, **baptize** you with water based on repentence

5. **δέχομαι** — I receive — Matt 10:40
   Ὁ **δεχόμενος** ὑμᾶς ἐμὲ δέχεται·
   He who receives you receives me

6. **εὐαγγελίζω** — I proclaim good news — Rom 10:15
   Ὡς ὡραῖοι οἱ πόδες τῶν **εὐαγγελιζομένων** εἰρήνην, τῶν **εὐαγγελιζομένων** τὰ ἀγαθά.
   how beautiful are the feet of **those proclaiming** peace, **those who bring good news**

7. **κρατέω** — I grasp, hold — Rev 2:1
   Τάδε λέγει ὁ **κρατῶν** τοὺς ἑπτὰ ἀστέρας
   He who holds the seven stars says these things

8. **πείθω** — I persuade — Heb 6:9
   Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείσσονα
   But **we have been persuaded** concerning you, beloved, of better things

9. **σπείρω** — I sow — Luke 8:5
   Ἐξῆλθεν ὁ **σπείρων** τοῦ **σπεῖραι** τὸν σπόρον αὐτοῦ·
   the **sower** went out **to sow** his seed

10. **σταυρόω** — I crucify — Mark 15:13
    Οἱ δὲ πάλιν ἔκραξαν, **Σταύρωσον** αὐτόν.
    And again they cried, "**Crucify** Him."

11. **ὑπάρχω** I am, am present, exist James 2:15
Ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ **ὑπάρχωσιν**
if a brother or sister **is** naked

12. **χαίρω** I rejoice Phil 4:4
Χαίρετε ἐν κυρίῳ πάντοτε· πάλιν ἐρῶ, **χαίρετε**.
Rejoice in the Lord always; again I will say, "**Rejoice**."

Adjectives
13. **ἅπας, ασα, αν** every (one) James 3:2
Πολλὰ γὰρ πταίομεν **ἅπαντες**.
for we **all** trip up on many things

Prepositions
14. **πρό** with genitive before Matt 11:10
ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου **πρὸ** προσώπου σου
I send My messenger **before** your face

Adverbs
15. **ἔτι** yet, still Rom 5:8
ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν
while we were **still** sinners

16. **μᾶλλον** more Phil 1:9
ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι **μᾶλλον** καὶ **μᾶλλον** περισσεύῃ
that you love might increase still **more** and **more**

17. **οὔτε** and not, neither, nor Matt 6:20
ὅπου **οὔτε** σὴς **οὔτε** βρῶσις ἀφανίζει
where **neither** moth **nor** rust destroys

18. **πῶς** how John 3:4
Πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν;
How is a man able to be born being old?

19. **τότε** then John 13:27
τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς.
then Satan entered into him

Interjection
20. **ἀμήν** amen John 6:47
Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον.
Amen, **amen**, I say to you, 'He who believes has everlasting life.'

19 FIRST AORIST ACTIVE AND MIDDLE INDICATIVE VERBS

19.1 GRAMMAR

19.1.1 Aorist Tense

This tense presents an action in summary form. In many contexts, the action occurs in the past from the perspective of the speaker/author, although there are also present and future time uses. Review 18.1.1 for additional information.

19.1.2 Voice

The following table provides examples of the active and passive voice for various tenses. Middle voice is not included because it is frequently translated as active.

Tense	Active Voice	Passive Voice
Present	God loves John.	John is loved by God.
Future	God will love John.	John will be loved by God.
Imperfect	God was loving John.	John was being loved by God.
Aorist	**God loved John.**	**John was loved by God.**

19.1.3 Overview of the First Aorist Active and Middle Indicative Parts

ἔλυσα

ἐ	λυ	σα	-
Augment	**Aorist Active Tense Stem**	**Aorist Active Tense Marker**	**Active Ending (1s)**

Root: λυ*

19.1.4 Augment

The augment rules given in 17.1.4 and 17.1.5 also apply to the aorist tense. The following table summarizes those rules.

Verb Stem's Letter:	Augment:	
Consonant	ε	
Vowel	No Diphthong	Diphthong
	α → η	αι → ῃ
	ε → η	αυ → ηυ
	η → η	ευ → ευ
	ι → ι	οι → ῳ
	ο → ω	
	υ → υ	

19.1.5 Tense Marker (T.M.)

Unlike second aorist verbs, first aorist verbs use a tense marker. Frequently, the aorist active and middle tense marker is sigma-alpha (σα). With many mi verbs, it is kappa-alpha (κα). With liquid verbs, it is alpha (α).

Tense	Active	Middle	Passive
Present	-	-	-
Future	σ†	σ†	θησ††
Imperfect	-	-	-
2nd Aorist	-	-	See Next Chapter
1st Aorist	σα	σα	
	α (liquid verbs)	α (liquid verbs)	
	κα (mi verbs)† †††	None	

† Liquid verbs use εσ for this marker.
†† Some verbs use ησ for this marker.
††† Some mi verbs such as ἵστημι use σα for this marker.

19.1.6 Chart of Endings: First Aorist Active and Middle Indicative Emphasized

Since it is an augmented tense, the aorist uses secondary endings.

P/N	Primary	Secondary		
		Separate		With T.M
Active				
1s	-	ν	-	**σα**
2s	ς	ς		**σας**
3s	ι	(ν)		**σεν**
1p	μεν	μεν		**σαμεν**
2p	τε	τε		**σατε**
3p	νσι(ν)	ν		**σαν**
Middle/Passive				**Middle**†
1s	μαι	μην		**σαμην**
2s	σαι	σο		**σω**††
3s	ται	το		**σατο**
1p	μεθα	μεθα		**σαμεθα**
2p	σθε	σθε		**σασθε**
3p	νται	ντο		**σαντο**

† Aorist passive verbs use a different tense marker and active endings.
†† Omicron (ο) lengthens to omega (ω).

19.1.7 Aorist Active Tense Stem (A.A. Stem)

This stem is used to form verbs into the aorist active and middle. Unlike second aorist verbs, recognizing the aorist active tense stem of first aorist verbs is not as important. This is because first aorist verbs also use a visible tense marker of σα, α (liquid verbs), or κα (many mi verbs).

For many verbs, the aorist active tense stem is identical to the present tense stem. This means the dictionary form of these verbs and, therefore, their meaning is easy to identify. These kinds of verbs do not require extra memorization. Examples are shown in the following table.

Examples where extra memorization of root or aorist active stem is unnecessary

Present Form	Root	A.A. Stem	Aorist Form (1s)	Translation
λύω	λυ*	λυ-	ἔλυσα	I untied
ἀκούω	ἀκου*	ἀκου-	ἤκουσα	I heard
ποιέω	ποιε*	ποιε-	ἐποίησα†	I did
λαλέω	λαλε*	λαλε-	ἐλάλησα†	I spoke
πιστεύω	πιστευ*	πιστευ-	ἐπίστευσα	I believed
ἀκολουθέω	ἀκολουθε*	ἀκολουθε-	ἠκολούθησα†,††	I followed

† Contract vowels lengthen because of the tense marker (α→η; ε→η; ο→ω).
†† The theta (θ) is not a tense marker but part of the verb. Do not confuse this form with a future passive or aorist passive (to be learned later).

For other verbs, the aorist active tense stem is not identical to the present tense stem. This means their dictionary form is not as easy to identify. However, the aorist active stem of these verbs is identical or similar to the root. These roots should be memorized. Common examples are shown in the following table.

Examples where the root should be memorized

Present Form	Root	A.A. Stem	Aorist Form (1s)	Translation
δίδωμι	**δο***	δο-	ἔδωκα†	I gave
τίθημι	**θε***	θε-	ἔθηκα†	I put
ἀφίημι	**ἀπο+ἐ***	ἀφε-	ἀφῆκα†	I forgave
ἵστημι	**στα***	στα-	ἔστην††	I stood
αἴρω	**ἀρ***	αρ-	ἦρα	I took away

† Mi verbs often use kappa-alpha (κα) as the aorist tense marker.
†† Forms of ἵστημι and related verbs sometimes occur with second aorist endings and sometimes with first aorist ones. When it uses a tense marker, it is often sigma-alpha (σα) instead of kappa-alpha (κα).

For a third group of verbs, the aorist active tense stem is not identical to the present tense stem or root. This means their dictionary form is harder to identify. Thus, the aorist active form (1s) should be memorized. An example is shown in the following table.

Example where the aorist active form (1s) should be memorized

Present Form	Root	A.A. Stem	Aorist Form (1s)	Translation
φέρω	φερ-	ἐνεγ-	**ἤνεγκα**†	I brought

† φέρω is an omega verb that uses kappa-alpha (κα) as its aorist tense marker.

19.1.8 Changes in Roots Ending in a Labial, Guttural, or Dental

Similar to the future tense, the sigma of the aorist tense marker changes into a new letter when it interacts with roots ending in a labial, guttural, or dental. The changes are shown in the following table.

Letter Class	Changed Letter			Tense Marker	Result
Labial	π (pi)	β (beta)	φ (phi)	+ σα	= ψα
Guttural	κ (kappa)	γ (gamma)	χ (chi)	+ σα	= ξα
Dental	τ (tau)	δ (delta)	θ (theta)	+ σα	= σα†
† The dentals tau (τ), delta (δ), and theta (θ) normally drop out before a sigma (σ).					

The above changes are shown on example verbs below.

Dictionary Form	Root	Aug. Stem	A.A. Form (1s)	Translation
βλέπω	βλεπ*	ἐβλεπ-	ἔβλεψα	I saw
διδάσκω	διδασκ*	ἐδιδασκ-	ἐδίδαξα	I taught
βαπτίζω	βαπτιδ*	ἐβαπτιδ-	ἐβάπτισα	I baptized

19.2 OMEGA VERBS: AORIST ACTIVE AND MIDDLE INDICATIVE

Memorize the active and middle forms of λύω.

19.2.1 Aorist Active Indicative Pattern of λύω

Pronoun	Aug.	Stem	T.M.	Ending	Form	Translation
Singular						
ἐγώ	ἐ	λυ-	σα	-	ἔλυ**σα**	I untied
σύ				ς	ἔλυ**σας**	you untied
αὐτός, ή, ό				ν	ἔλυ**σεν**	he/she/it untied
Plural						
ἡμεῖς	ἐ	λυ-	σα	μεν	ἐλύ**σαμεν**	we were untied
ὑμεῖς				τε	ἐλύ**σατε**	you (pl) untied
αὐτοί, αί, ά				ν	ἔλυ**σαν**	they untied

19.2.2 Aorist Middle Indicative Pattern of λύω

Pronoun	Aug.	Stem	T.M.	Ending	Form	Translation
Singular						
ἐγώ	ἐ	λυ-	σα	μην	ἐλυ**σάμην**	I untied for myself
σύ				σο	ἐλύ**σω**	you untied for yourself
αὐτός, ή, ό				το	ἐλύ**σατο**	he untied for himself
Plural						
ἡμεῖς	ἐ	λυ-	σα	μεθα	ἐλυ**σάμεθα**	we untied for ourselves
ὑμεῖς				σθε	ἐλύ**σασθε**	you untied for yourself
αὐτοί, αί, ά				ντο	ἐλύ**σαντο**	they untied for themselves

19.3 MI VERBS: AORIST ACTIVE AND MIDDLE INDICATIVE

Mi verbs use the root (δο*) instead of the present tense stem (διδο-) to form the aorist tense. Memorization of these forms is not necessary.

19.3.1 Aorist Active Indicative Patterns of Mi Verbs

The root's final vowel lengthens upon adding the tense marker kappa-alpha (κα).

Pronoun	**Dictionary Form (Uses Present Tense Stem)**				
	λύω	δίδωμι	ἵστημι†	τίθημι	ἀφίημι
	Aorist Tense Stem				
	λυ-	δο-	στα-	θε-	ἀπο+ἑ-
Singular					
ἐγώ	ἔλυσα	ἔδω**κα**	ἔστη**ν**	ἔθη**κα**	ἀφῆ**κα**
σύ	ἔλυσας	ἔδω**κας**	-	ἔθη**κας**	ἀφῆ**κας**
αὐτός, ή, ό	ἔλυσεν	ἔδω**κεν**	ἔστη**σεν** ἔστη	ἔθη**κεν**	ἀφῆ**κεν**
Plural					
ἡμεῖς	ἐλύσαμεν	ἐδώ**καμεν**	ἐστή**σαμεν**	-	ἀφή**καμεν**
ὑμεῖς	ἐλύσατε	ἐδώ**κατε**	ἐστή**σατε**	-	ἀφή**κατε**
αὐτοί, αί, ά	ἔλυσαν	ἔδω**καν**	ἔστη**σαν**	ἔθη**καν**	ἀφῆ**καν**

† Forms of ἵστημι and related verbs sometimes occur with second aorist endings and sometimes with first aorist ones. When it uses a tense marker, it is often sigma-alpha (σα), not kappa-alpha (κα).

19.3.2 Aorist Middle Indicative Patterns of Mi Verbs

Mi verbs do not use a tense marker in the middle voice. The lack of duplication with iota distinguishes these forms from the imperfect ones.

Pronoun	**Dictionary Form (Uses Present Tense Stem)**				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Aorist Tense Stem				
	λυ*	δο-	στα-	θε-	ἀφε-
Singular					
ἐγώ	ἐλυ**σάμην**	-	-	ἐθέ**μην**	-
σύ	ἐλύ**σω**	-	-	ἔθ**ου**	-
αὐτός, ή, ό	ἐλύ**σατο**	ἔδε**το**	-	ἔθε**το**	-
Plural					
ἡμεῖς	ἐλυ**σάμεθα**	-	-	-	-
ὑμεῖς	ἐλύ**σασθε**	ἔδο**σθε**	-	ἔθε**σθε**	-
αὐτοί, αί, ά	ἐλύ**σαντο**	ἔδο**ντο**	-	ἔθε**ντο**	-

19.4 CONTRACT VERBS: AORIST ACTIVE AND MIDDLE INDICATIVE

The only difference between these and non-contract forms is the lengthened contract vowel due to the aorist tense marker (σα). Memorization of these forms is not necessary.

19.4.1 Aorist Active Indicative Patterns of Contract Verbs

Pronoun	**λύω**	**ποιέω**	**ἀγαπάω**	**πληρόω**
Singular				
ἐγώ	ἔλυσα	ἐποίη**σα**	ἠγάπη**σα**	ἐπλήρω**σα**
σύ	ἔλυσας	ἐποίη**σας**	ἠγάπη**σας**	ἐπλήρω**σας**
αὐτός, ή, ό	ἔλυσεν	ἐποίη**σεν**	ἠγάπη**σεν**	ἐπλήρω**σεν**
Plural				
ἡμεῖς	ἐλύσαμεν	ἐποιή**σαμεν**	ἠγαπή**σαμεν**	-
ὑμεῖς	ἐλύσατε	ἐποιή**σατε**	ἠγαπή**σατε**	ἐπληρώ**σατε**
αὐτοί, αί, ά	ἔλυσαν	ἐποίη**σαν**	ἠγάπη**σαν**	ἐπλήρω**σαν**

19.4.2 Aorist Middle Indicative Patterns of Contract Verbs

Pronoun	**λύω**	**ποιέω**	**ἀγαπάω**	**πληρόω**
Singular				
ἐγώ	ἐλυσάμην	ἐποιη**σάμην**	-	-
σύ	ἐλύσω	-	-	-
αὐτός, ή, ό	ἐλύσατο	ἐποιή**σατο**	ἠγαπή**σατο**	ἐπληρώ**σατο**
Plural				
ἡμεῖς	ἐλυσάμεθα	-	-	-
ὑμεῖς	ἐλύσασθε	ἐποιή**σασθε**	-	-
αὐτοί, αί, ά	ἐλύσαντο	ἐποιή**σαντο**	ἠγαπή**σαντο**	-

19.5 LIQUID VERBS: AORIST ACTIVE INDICATIVE

To review, liquid verbs have roots that end in lambda (λ), mu (μ), nu (ν), or rho (ρ). These verbs use alpha (α), not sigma-alpha (σα), as the aorist tense marker. Memorization of these forms is not necessary. Middle forms are not listed because they are uncommon.

Pronoun	**Aug. Stem**	**T.M.**	**Ending**	**Form**	**Aorist of λύω**
Singular					
ἐγώ	ἀπεστειλ-	α	-	ἀπέστειλ**α**	ἔλυσα
σύ			ς	ἀπέστειλ**ας**	ἔλυσας
αὐτός, ή, ό			ν	ἀπέστειλ**εν**	ἔλυσεν
Plural					
ἡμεῖς	ἀπεστειλ-	α	μεν	ἀπεστείλ**αμεν**	ἐλύσαμεν
ὑμεῖς			τε	ἀπεστείλ**ατε**	ἐλύσατε
αὐτοί, αί, ά			ν	ἀπέστειλ**αν**	ἔλυσαν

19.6 EXERCISES

Read the following sentences out loud and translate them. For the first 30 exercises, parse the word in **bold**.

1. Ἐγὼ μὲν **ἐβάπτισα** ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ. Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις, ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη (was baptized) ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:8-9)

2. καὶ **ἐπέθηκεν** τῷ Σίμωνι ὄνομα Πέτρον· καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν, Υἱοὶ Βροντῆς (thunder)· καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν.

3. καὶ **ἤνεγκεν** τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι (platter), καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ (girl)· καὶ τὸ κοράσιον (girl) ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:28)

4. Καὶ … οἱ μαθηταὶ αὐτοῦ **ἦλθον**, καὶ ἦραν τὸ πτῶμα (corpse) αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ (a tomb).

5. …πάλιν **ἐπέθηκεν** τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι (see again). (ΚΑΤΑ ΜΑΡΚΟΝ 8:25)

6. Καὶ **ἐπηρώτησεν** τοῦς γραμματεῖς, Τί συζητεῖτε (were you arguing) πρὸς αὐτούς; Καὶ ἀποκριθεὶς (answered *and*) εἷς ἐκ τοῦ ὄχλου εἶπεν, Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σε…

7. **Ἤρξατο** ὁ Πέτρος λέγειν (to say) αὐτῷ, Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ ἠκολουθήσαμέν σοι. (ΚΑΤΑ ΜΑΡΚΟΝ 10:28)

8. Καὶ **ἤκουσαν** οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν (they might destroy Him)· ἐφοβοῦντο γὰρ αὐτόν…

9. ἑπτὰ ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος **ἔλαβεν** γυναῖκα, καὶ ἀποθνήσκων (dying) οὐκ ἀφῆκεν σπέρμα· καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν, καὶ οὐδὲ αὐτὸς ἀφῆκεν σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως (likewise). Καὶ ἔλαβον αὐτὴν οἱ ἑπτά, καὶ οὐκ ἀφῆκαν σπέρμα. Ἐσχάτη πάντων ἀπέθανεν καὶ ἡ γυνή. Ἐν τῇ ἀναστάσει … τίνος αὐτῶν ἔσται γυνή; Οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. (ΚΑΤΑ ΜΑΡΚΟΝ 12:20-23)

10. **…**οὐκ **ἐπίστευσας** τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.

11. Καὶ **ἐπορεύοντο** πάντες ἀπογράφεσθαι (to be registered), ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρέτ, εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαυίδ, ἥτις καλεῖται Βηθλέεμ… (ΚΑΤΑ ΛΟΥΚΑΝ 2:3-4)

12. Καὶ **ἔδωκεν** αὐτὸν τῇ μητρὶ αὐτοῦ. Ἔλαβεν δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν θεόν…

13. Καὶ **ἀπέστειλεν** αὐτοὺς κηρύσσειν (to preach) τὴν βασιλείαν τοῦ θεοῦ, καὶ ἰᾶσθαι (to heal)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:2)

14. …καὶ ἀπέστειλεν αὐτοὺς … πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ (where) ἔμελλεν αὐτὸς ἔρχεσθαι (to come). **Ἔλεγεν** οὖν πρὸς αὐτούς…

15. Ὁ δὲ **εἶπεν** αὐτῷ, Ἄνθρωπός τις ἐποίησεν δεῖπνον (supper) μέγα, καὶ ἐκάλεσεν πολλούς· καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου (supper)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 14:16)

16. Εἶπεν δὲ Πέτρος, Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα, καὶ **ἠκολουθήσαμέν** σοι.

17. Διδάσκαλε, **Μωσῆς** ἔγραψεν ἡμῖν… (ΚΑΤΑ ΛΟΥΚΑΝ 20:28)

18. **ἠκολούθησαν** δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.

19. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω (know). Εἰς τὰ ἴδια **ἦλθεν**, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι (to be)… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:10-12)

20. Καὶ **ἤκουσαν** αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος (speaking), καὶ ἠκολούθησαν τῷ Ἰησοῦ.

21. **Εὑρίσκει** Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ, Ὃν ἔγραψεν Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται εὑρήκαμεν (we have found), Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ, Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι (to be); (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:45-46)

22. Ταύτην **ἐποίησεν** τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐφανέρωσεν (revealed) τὴν δόξαν αὐτοῦ· καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ. Μετὰ τοῦτο κατέβη εἰς Καπερναούμ, αὐτὸς καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς ἡμέρας.

23. Ἐκεῖνος δὲ ἔλεγεν περὶ τοῦ ναοῦ τοῦ **σώματος** αὐτοῦ. Ὅτε οὖν ἠγέρθη (He was raised) ἐκ νεκρῶν, ἐμνήσθησαν (remembered) οἱ μαθηταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγεν· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα, ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 2:21-23)

24. Οὕτως γὰρ **ἠγάπησεν** ὁ θεὸς τὸν κόσμον, ὥστε (so that) τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ (unique) ἔδωκεν…

25. Αὕτη δέ ἐστιν ἡ **κρίσις**, ὅτι τὸ φῶς ἐλήλυθεν (has come) εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:19)

26. Μὴ σὺ μείζων (greater) **εἶ** τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ (well), καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιεν, καὶ οἱ υἱοὶ αὐτοῦ…;

27. πέντε (five) γὰρ ἄνδρας **ἔσχες**, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· … Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:18-20)

28. Ἐκ δὲ τῆς **πόλεως** ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικὸς μαρτυρούσης (testifying) ὅτι Εἶπέν μοι πάντα ὅσα ἐποίησα. Ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι (to stay) παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας.

29. Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν … καὶ **ἀπῆλθεν** εἰς τὴν Γαλιλαίαν. Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι (region) τιμὴν (honor) οὐκ ἔχει. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:43-44)

30. καὶ ἐξουσίαν **ἔδωκεν** αὐτῷ καὶ κρίσιν ποιεῖν (to make), ὅτι υἱὸς ἀνθρώπου ἐστίν.

31. Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα (remaining) ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:38)

32. Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον (written), Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν (to eat).

33. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:49)

34. Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς (openly), ἀλλ' ὡς ἐν κρυπτῷ (secret). Οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ, καὶ ἔλεγον…

35. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 7:21)

36. Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησεν λέγων (saying), Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου·

37. Ταῦτα αὐτοῦ λαλοῦντος (while he was saying) πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:30)

38. Ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν (mud) ἐποίησεν ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν (opened) αὐτοῦ τοὺς ὀφθαλμούς.

39. Λέγουσιν τῷ τυφλῷ πάλιν, Σὺ τί λέγεις περὶ αὐτοῦ, ὅτι ἤνοιξεν (He opened) σου τοὺς ὀφθαλμούς; Ὁ δὲ εἶπεν ὅτι Προφήτης ἐστίν. Οὐκ ἐπίστευσαν οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι τυφλὸς ἦν καὶ ἀνέβλεψεν (he received his sight), ἕως… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:17-18)

40. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω (out)· καὶ εὑρὼν (after finding) αὐτόν, εἶπεν αὐτῷ, Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, Καὶ τίς ἐστιν, κύριε…;

41. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν ἐκ τοῦ πατρός μου· διὰ ποῖον (which) αὐτῶν ἔργον λιθάζετέ (do you stone) με; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:32)

42. Ὁ δὲ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω (up), καὶ εἶπεν, Πάτερ, εὐχαριστῶ (I thank) σοι ὅτι ἤκουσάς μου.

43. Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος, Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, Δεῖ ὑψωθῆναι (to be lifted up = is lifted up) τὸν υἱὸν τοῦ ἀνθρώπου; Τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστιν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 12:34-35)

44. Καθὼς ἠγάπησέν με ὁ πατήρ, κἀγὼ (I also) ἠγάπησα ὑμᾶς· μείνατε (Remain) ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ.

45. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:4)

46. Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ἐγὼ παρρησίᾳ (openly) ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε (always) ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ…

47. Ἔγραψεν δὲ καὶ τίτλον (inscription) ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ (cross)· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:19)

48. Εἶπεν δὲ πρὸς αὐτούς, Οὐχ ὑμῶν ἐστιν γνῶναι (to know) χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ.

49. Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ θεός, οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες (witnesses). (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 2:32)

50. Οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ αὐτός, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου…

51. …ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε (crucified), ὃν ὁ θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής (well). (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 4:10)

52. καὶ ἐξελέξαντο (they chose) Στέφανον, ἄνδρα ⌜πλήρης⌝ πίστεως καὶ πνεύματος ἁγίου, καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων· καὶ προσευξάμενοι (having prayed) ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας.

53. οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι (to receive) αὐτόν· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 18:27)

54. Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ ἄγγελος τοῦ θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω (I serve)…

55. …παρέδωκεν αὐτοὺς ὁ θεὸς ἐν ταῖς ἐπιθυμίαις (desires) τῶν καρδιῶν αὐτῶν… (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 1:24)

56. Τί γὰρ ἡ γραφὴ λέγει; Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη (it was credited) αὐτῷ εἰς δικαιοσύνην.

57. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. Οὐ γὰρ ἀπέστειλέν με Χριστὸς βαπτίζειν (to baptize), ἀλλ' εὐαγγελίζεσθαι (to preach good news)· (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 1:16-17)

58. Νυνὶ δὲ ὁ θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι, καθὼς ἠθέλησεν. Εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ (where) τὸ σῶμα; Νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα.

59. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 15:3)

60. …Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης (female servant), καὶ ἕνα ἐκ τῆς ἐλευθέρας (from the free woman).

61. καὶ πάντα ὑπέταξεν (He subjected) ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκεν κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶν τὸ σῶμα αὐτοῦ… (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 1:22-23)

62. καὶ περιπατεῖτε (walk) ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν…

63. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν (propitiation) περὶ τῶν ἁμαρτιῶν ἡμῶν. (ΙΩΑΝΝΟΥ Α 4:10)

64. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία (testimony), ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων (He who has) τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων (He who does … have) τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

65. Καὶ ἤκουσα φωνῆς μεγάλης⌜ ἐκ τοῦ ναοῦ, ⌝λεγούσης (saying) τοῖς ἑπτὰ ἀγγέλοις… (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 16:1)

66. Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν (across) τοῦ Ἰορδάνου.

67. …προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι (to do); Λέγουσιν αὐτῷ, Ναί (Yes), κύριε. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 9:28)

68. Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς (without) παραβολῆς οὐκ ἐλάλει αὐτοῖς·

69. ὁ κύριος τοῦ δούλου ἐκείνου ἀπέλυσεν αὐτόν, καὶ τὸ δάνειον (debt) ἀφῆκεν αὐτῷ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 18:27)

70. Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι (to save).

19.7 VOCABULARY

Verbs

1. **ἀπαγγέλλω** I tell, announce
   a. **ἀπαγγέλλων** ὅτι Ὁ θεὸς ὄντως ἐν ὑμῖν ἐστιν. 1 Cor 14:25
      announcing that truly God is among you.
   b. **ἀπήγγειλαν** ταῦτα πάντα τοῖς ἕνδεκα Luke 24:9
      they told all these things to the eleven

2. **ἅπτομαι** I touch, light Luke 11:33
   Οὐδεὶς δὲ λύχνον **ἅψας** εἰς κρύπτην τίθησιν
   No one, **after lighting** a lamp, hides it

3. **ἀσπάζομαι** I greet 1 Cor 16:20
   Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ.
   Greet one another with a holy kiss

4. **δέω** I tie, bind 2 Tim 2:9
   ὁ λόγος τοῦ θεοῦ οὐ **δέδεται**.
   the Word of God **has** not **been tied**

5. **διέρχομαι** (δια + ερχ* and ελθ*) I pass through 1 Cor 16:5
   Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς, ὅταν Μακεδονίαν **διέλθω**· Μακεδονίαν γὰρ **διέρχομαι**·
   And I will come to you whenever **I should pass through** Macedonia. For **I am passing through** Macedonia.

6. **ἐργάζομαι** I work 2 Thes 3:10
   εἴ τις οὐ θέλει **ἐργάζεσθαι**, μηδὲ ἐσθιέτω.
   If someone does not want **to work**, neither let him eat.

7. **ἔφη** (imperfect of φημί, I say) he said Acts 8:36
   καί **φησιν** ὁ εὐνοῦχος, Ἰδού, ὕδωρ·
   and the eunuch **said**, Look, water

8. **θεραπεύω** I heal Luke 4:23
   Ἰατρέ, **θεράπευσον** σεαυτόν·
   Physician, **heal** yourself.

9. **καθίζω** I sit Matt 20:21
   Εἰπὲ ἵνα **καθίσωσιν** οὗτοι οἱ δύο υἱοί μου, εἷς ἐκ δεξιῶν σου, καὶ εἷς ἐξ εὐωνύμων σου
   Say that these two sons of mine **might sit**, one on your right and one on your left

10. **κατοικέω** I dwell Col. 2:9
    ἐν αὐτῷ **κατοικεῖ** πᾶν τὸ πλήρωμα τῆς θεότητος
    In Him **dwells** all the fullness of deity.

11. **πίπτω** I fall
    a. Ἄλλα δὲ **ἔπεσεν** ἐπὶ τὰ πετρώδη — Matt 13:5
       and another **fell** on rocky soil
    b. πολλάκις γὰρ **πίπτει** εἰς τὸ πῦρ — Matt 17:15
       for often **he falls** into the fire

12. **προσφέρω** I carry, offer — Heb 7:27
    τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ, ἑαυτὸν **ἀνενέγκας**.
    for this He did once for all **by offering** Himself

13. **φανερόω** I reveal — Rom 3:21
    Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ **πεφανέρωται**
    but now apart from the law the righteousness of God **has been revealed**
14. **φωνέω** I sound, call — John 13:13
    Ὑμεῖς **φωνεῖτέ** με, Ὁ διδάσκαλος
    You **call** me "Teacher"

Nouns

15. **ἡ τιμή**, ῆς honor, price
    a. μόνῳ σοφῷ θεῷ, **τιμὴ** καὶ δόξα — 1 Tim. 1:17
       to the only wise God be **honor** and glory
    b. ἠγοράσθητε γὰρ **τιμῆς**· — 1 Cor. 6:20
       for you were bought with a **price**

16. **ὁ φόβος**, ου fear — Mark 4:41
    ἐφοβήθησαν **φόβον** μέγαν
    they were **terribly** afraid

Conjunctions

17. **διό** therefore — 1 Thes 5:11
    Διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα
    Therefore encourage one another and build one another up

Adverbs

18. **ὅπου** where — John 19:17-18
    Γολγοθᾶ· **ὅπου** αὐτὸν ἐσταύρωσαν
    Golgotha, **where** they crucified Him

19. **ὧδε** here — Matt 14:17
    Οὐκ ἔχομεν **ὧδε** εἰ μὴ πέντε ἄρτους
    we do not have **here** but five loaves of bread

20. **ὥστε** so that — Gal 4:7
    Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ' υἱός·
    so that no longer are you a slave but a son

20 AORIST PASSIVE INDICATIVE VERBS

20.1 GRAMMAR

20.1.1 Aorist Tense

This tense presents an action in summary form. In many contexts, the action occurs in the past from the perspective of the speaker/author, although there are also present and future time uses. Review 18.1.1 for additional information.

20.1.2 Voice

The following table provides examples of the active and passive voice for various tenses. Middle voice is not included because it is frequently translated as active.

Tense	Active Voice	Passive Voice
Present	God loves John.	John is loved by God.
Future	God will love John.	John will be loved by God.
Imperfect	God was loving John.	John was being loved by God.
Aorist	**God loved John.**	**John was loved by God.**

20.1.3 Overview of the Aorist Passive Indicative Parts

ἐλύθην

ἐ	λυ	θη	ν
Augment	**Aorist Passive Tense Stem**	**Aorist Passive Tense Marker**	**Active Ending (1s)**

Root: **λυ***

20.1.4 Augment

The augment rules of 17.1.4 and 17.1.5 also apply to the aorist tense. The following table summarizes those rules.

Verb Stem's Letter:	Augment:	
Consonant	ε	
Vowel	No Diphthong	Diphthong
	α → η	αι → ῃ
	ε → η	αυ → ηυ
	η → η	ευ → ευ
	ι → ι	οι → ῳ
	ο → ω	
	υ → υ	

20.1.5 Tense Marker (T.M.)

The aorist passive tense marker is frequently theta-eta (θη) and, occasionally, eta (η). Review the tense markers in the following chart.

Tense	Active	Middle	Passive
Present	-	-	-
Future	σ†	σ†	θησ††
Imperfect	-	-	-
2nd Aorist	-	-	θη††††
1st Aorist	σα	σα	
	α (liquid verbs)	α (liquid verbs)	
	κα (mi verbs)†††	None	

† Liquid verbs use εσ for this marker.
†† Some verbs use ησ for this marker.
††† Some mi verbs such as ἵστημι use σα for this marker.
†††† Some verbs use η for this marker.

20.1.6 Chart of Endings: Aorist Passive Indicative Emphasized

Since it is an augmented tense, the aorist uses secondary endings. Observe that the aorist passive requires the active endings.

P/N	Primary	Secondary	
		Separated	With T.M.
Active			
1s	-	ν -	
2s	ς	ς	
3s	ι	(ν)	
1p	μεν	μεν	
2p	τε	τε	
3p	νσι(ν)	ν	
Middle/Passive			**Passive**†
1s	μαι	μην	**θην**
2s	σαι	σο	**θης**
3s	ται	το	**θη**
1p	μεθα	μεθα	**θημεν**
2p	σθε	σθε	**θητε**
3p	νται	ντο	**θησαν**

† Aorist passive voice uses active endings.

20.1.7 Aorist Passive Tense Stem (A.P. Stem)

This stem is used to form verbs into the aorist passive. The stem was first introduced in chapter 16 because it is also used to form the passive voice of the future tense.

For some verbs, the aorist passive stem is identical to the present tense stem. This means the dictionary form of these verbs and, therefore, their meaning is easy to identify. These kinds of verbs do not require extra memorization. Common examples are shown in the following table.

Examples where extra memorization of root or aorist passive stem is unnecessary

Present Form	Root	A.P. Stem	Aorist Passive (1s)	Translation
λύω	λυ*	λυ-	ἐλύθην	I was untied
φοβέομαι	φοβε*	φοβε-	ἐφοβήθην†	I was afraid††
πορεύομαι	πορευ*	πορευ-	ἐπορεύθην	I went††
γεννάω	γενα*	γενα-	ἐγεννήθην†	I was born††
φανερόω	φανερο*	φανερο-	ἐφανερώθην†	I was seen
ἀνοίγω	ἀνα+οιγ*	ἀνοιγ-	ἀνεώχθην†††	I was opened

† Contract vowels lengthen because of the tense marker (α→η; ε→η; ο→ω).
†† The verb is deponent and, therefore, translated with active voice.
††† Some final stem consonants change to a similar sounding one.

For other verbs, the aorist passive tense stem is not identical to the present tense stem. This means their dictionary form is not as easy to identify. However, the aorist passive tense stem of these verbs is identical or similar to the root. These roots should be memorized. Common examples are shown in the following table.

Examples where the root should be memorized

Present Form	Root	A.P. Stem	Aorist Passive (1s)	Translation
γίνομαι	**γεν***	γεν-	ἐγενήθην†	I was††
δίδωμι	**δο***	δο-	ἐδόθην	I was given
ὁράω	**ὁρα***	ὀπ-	ὤφθην†††	I was seen
ἐγείρω	**ἐγερ***	ἐγερ-	ἠγέρθην	I was raised
εὑρίσκω	**εὑρ***	εὑρ-	εὑρέθην†	I was found
χαίρω	**χαρ***	χαρ-	ἐχάρην††	I rejoiced
βαπτίζω	**βαπτιδ***	βαπτιδ-	ἐβαπτίσθην†††	I was baptized
συνάγω	**συν+ἀγ***	συναγ-	συνήχθην†††	I was gathered

† A connecting vowel is added to these verbs.
†† The verb is deponent and, therefore, translated with active voice.
††† Some final stem consonants change to a similar sounding one.

For a third group of verbs, the aorist passive tense stem is not identical to the present tense stem or root. This means their dictionary form is harder to identify. Thus, the aorist passive form (1s) should be memorized. An example is shown in the following table.

Examples where the aorist passive form (1s) should be memorized

Present Form	Root	A.P. Stem	A.P. Form (1s)	Translation
ἀποκρίνομαι	ἀπο+κριν*	ἀποκρι-	**ἀπεκρίθην**	I answered†
καλέω	καλε*	κλη-	**ἐκλήθην**	I was called
λέγω	λεγ*	ἐρρε-	**ἐρρέθην**	I was spoken
βάλλω	βαλ*	βλη-	**ἐβλήθην**	I was cast
προσφέρω	προσ+φερ*	προσενεγ-	**προσηνέχθην**††	I was sacrificed
φέρω	φερ*	ἐνεγ-	**ἠνέχθην**††	I was brought

† The verb is deponent and, therefore, translated with active voice.
†† Some final stem consonants change to a similar sounding one.

20.2 OMEGA VERBS WITH θη MARKER: AORIST PASSIVE INDICATIVE

Memorize these forms of λύω.

Pronoun	Augment	Stem	T.M.	Ending	Form	Translation
Singular						
ἐγώ	ἐ	λυ-	θη	ν	**ἐλύθην**	I was untied
σύ				ς	**ἐλύθης**	you were untied
αὐτός, ή, ό				-	**ἐλύθη**	he/she/it was untied
Plural						
ἡμεῖς	ἐ	λυ-	θη	μεν	**ἐλύθημεν**	we were untied
ὑμεῖς				τε	**ἐλύθητε**	you (pl) were untied
αὐτοί, αί, ά				σαν	**ἐλύθησαν**	they were untied

20.3 MI VERBS: AORIST PASSIVE INDICATIVE

Mi verbs use the root (δο*) instead of the present tense stem (διδο-) to form the aorist tense. Memorization of these forms is not necessary.

Pronoun	Dictionary Form (Uses Present Tense Stem)				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Aorist Passive Tense Stem				
	λυ-	δο-	στα-	θε-	ἀπο+ἐ-
Singular					
ἐγώ	ἐλύθην	ἐδό**θην**	-	ἐτέ**θην**	-
σύ	ἐλύθης	-	-	-	-
αὐτός, ή, ό	ἐλύθη	ἐδό**θη**	ἐστά**θη**	ἐτέ**θη**	-
Plural					
ἡμεῖς	ἐλύθημεν	-	-	-	-
ὑμεῖς	ἐλύθητε	ἐδό**θητε**	-	-	-
αὐτοί, αί, ά	ἐλύθησαν	ἐδό**θησαν**	ἐστά**θησαν**	ἐτέ**θησαν**	ἀφέ**θησαν**

20.4 CONTRACT VERBS: AORIST PASSIVE INDICATIVE

The only difference between these forms and those of 20.2 is that the contract vowel lengthens upon adding the aorist passive marker (θη). Memorization of these forms is not necessary.

Pronoun	**λύω**	**ποιέω**	**γεννάω**	**πληρόω**
Singular				
ἐγώ	ἐλύθην	ἐποιή**θην**	ἐγεννή**θην**	ἐπληρώ**θην**
σύ	ἐλύθης	ἐποιή**θης**	ἐγεννή**θης**	ἐπληρώ**θης**
αὐτός, ή, ό	ἐλύθη	ἐποιή**θη**	ἐγεννή**θη**	ἐπληρώ**θη**
Plural				
ἡμεῖς	ἐλύθημεν	ἐποιή**θημεν**	ἐγεννή**θημεν**	ἐπληρώ**θημεν**
ὑμεῖς	ἐλύθητε	ἐποιή**θητε**	-	ἐπληρώ**θητε**
αὐτοί, αί, ά	ἐλύθησαν	ἐποιή**θησαν**	ἐγεννή**θησαν**	ἐπληρώ**θησαν**

20.5 OMEGA VERBS WITH η MARKER: AORIST PASSIVE INDICATIVE

Memorization of these forms is not necessary.

Pronoun	**Aug. Stem**	**T.M.**	**Ending**	**Form**	**Translation**
Singular					
ἐγώ	ἀπεσταλ-	η	ν	ἀπεστάλ**ην**	I was sent
σύ			ς	ἀπεστάλ**ης**	you were sent
αὐτός, ή, ό			-	ἀπεστάλ**η**	he/she/it sent
Plural					
ἡμεῖς	ἀπεσταλ-	η	μεν	ἀπεστάλ**ημεν**	we were sent
ὑμεῖς			τε	ἀπεστάλ**ητε**	you (pl) were sent
αὐτοί, αί, ά			σαν	ἀπεστάλ**ησαν**	they were sent

20.6 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**.

1. **Ὤφθη** δὲ αὐτῷ ἄγγελος κυρίου, ἑστὼς (standing) ἐκ δεξιῶν τοῦ θυσιαστηρίου (of the altar)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:11)

2. Καὶ … ὁ ἄγγελος εἶπεν αὐτῷ, Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς (who stands) ἐνώπιον τοῦ θεοῦ· καὶ **ἀπεστάλην** λαλῆσαι (to speak) πρός σε…

3. Ἐν δὲ τῷ μηνὶ (month) τῷ ἕκτῳ (sixth) **ἀπεστάλη** ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ… (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:26)

4. **Ἀνεῴχθη** δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα (immediately) καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν (praising) τὸν θεόν.

5. Καὶ ἰδού, ἄγγελος κυρίου ἐπέστη (appeared) αὐτοῖς, καὶ δόξα κυρίου περιέλαμψεν (surrounded) αὐτούς· καὶ **ἐφοβήθησαν** φόβον μέγαν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 2:9)

6. …καὶ **ἐκλήθη** τὸ ὄνομα αὐτοῦ Ἰησοῦς…

7. Καὶ **ἀπεκρίθη** Ἰησοῦς πρὸς αὐτόν … Γέγραπται (it has been written) ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ⌜ ἄνθρωπος, ⌝ ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:4)

8. Ἔλαβεν δὲ φόβος πάντας, καὶ **ἐδόξαζον** τὸν θεόν, λέγοντες (saying) ὅτι Προφήτης μέγας ἐγήγερται (has been raised) ἐν ἡμῖν…

9. …πρός τούς μαθητάς εἶπεν πάντα μοι **παρεδόθη** ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς γινώσκει τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱὸς… (ΚΑΤΑ ΛΟΥΚΑΝ 10:22)

10. Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν (to lay) ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ **ἐφοβήθησαν**· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην εἶπεν.

11. **Ἠγέρθη** ὁ κύριος … καὶ ὤφθη Σίμωνι. (ΚΑΤΑ ΛΟΥΚΑΝ 24:34)

12. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι (to become), τοῖς πιστεύουσιν (to those who believe) εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ **ἐγεννήθησαν**.

13. Ὅτι ὁ νόμος διὰ Μωσέως **ἐδόθη**, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:17)

14. Ἀπεκρίθη Ναθαναήλ καὶ λέγει αὐτῷ, Ῥαββί, σὺ **εἶ** ὁ υἱὸς τοῦ θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω (under) τῆς συκῆς (the fig tree), πιστεύεις;

15. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος (wedding) ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· **ἐκλήθη** δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον (wedding). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 2:1-2)

16. **Ἀπεκρίθησαν** οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Τί σημεῖον δεικνύεις ἡμῖν, ὅτι ταῦτα ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Λύσατε (Destroy) τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.

17. Ὅτε οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν (remembered) οἱ **μαθηταὶ** αὐτοῦ ὅτι τοῦτο ἔλεγεν· καὶ ἐπίστευσαν τῇ γραφῇ, καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ Πάσχα (Passover), … πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 2:22-23)

18. Ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ, Πῶς δύναται ταῦτα γενέσθαι (to be); Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραήλ, καὶ ταῦτα οὐ **γινώσκεις**; Ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν (we know) λαλοῦμεν…

19. Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν, Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Καλῶς (well) εἶπας ὅτι Ἄνδρα οὐκ ἔχω· πέντε (five) γὰρ ἄνδρας **ἔσχες**, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:17-18)

20. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ' ὅτι **ἐφάγετε** ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε (were satisfied).

21. Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν, Δαιμόνιον ἔχεις· τίς σε **ζητεῖ** ἀποκτεῖναι (to kill); Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε (you marvel). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 7:20-21)

22. **Ἀπεκρίθησαν** οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Οὐ καλῶς (well) λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σύ, καὶ δαιμόνιον ἔχεις; Ἀπεκρίθη Ἰησοῦς, Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ (I honor) τὸν πατέρα μου…

23. Ἄλλοι **ἔλεγον** ὅτι Οὗτός ἐστιν· ἄλλοι δὲ ὅτι Ὅμοιος αὐτῷ ἐστιν. Ἐκεῖνος ἔλεγεν ὅτι Ἐγώ εἰμι. Ἔλεγον οὖν αὐτῷ, Πῶς ⌜ἀνεῴχθησάν⌝ σου οἱ ὀφθαλμοί; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:9-10)

24. καὶ ἠρώτησαν αὐτοὺς λέγοντες (saying), Οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς **ἐγεννήθη**; Πῶς οὖν ἄρτι βλέπει; Ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς (parents) αὐτοῦ καὶ εἶπον, Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, οὐκ οἴδαμεν (we do … know)· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς, ἡμεῖς οὐκ οἴδαμεν (we do … know)·

25. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ **ἐξέβαλον** αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν (they found *and*) αὐτόν, εἶπεν αὐτῷ, Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:34-35)

26. Ὅτε ἐξῆλθεν, λέγει ὁ Ἰησοῦς, Νῦν **ἐδοξάσθη** ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ. Εἰ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν.

27. Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν **πολὺν** φέρητε (you might bear)· καὶ γενήσεσθε (you might become) ἐμοὶ μαθηταί. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:8)

28. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει (he ought) ἀποθανεῖν (to die), ὅτι **ἑαυτὸν** υἱὸν θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη…

29. Λέγει αὐτοῖς ὁ Πιλάτος, Τὸν **βασιλέα** ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:15)

30. **Παρέστησαν** οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ·

31. Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε (listen). Ὁ θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 7:2)

32. Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον· καὶ διερχόμενος (while passing through) εὐηγγελίζετο τὰς πόλεις πάσας…

33. Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις περὶ αὐτῶν· καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν (to go) ἕως Ἀντιοχείας· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 11:22)

34. …πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι (to hear) τὸν λόγον τοῦ θεοῦ.

35. Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν (to see) περὶ τοῦ λόγου τούτου. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 15:6)

36. Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι, διελθὼν (having passed through) τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι (to go) εἰς Ἱερουσαλήμ…

37. Ἄνδρες ἀδελφοί, ἐγὼ … παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 28:17)

38. Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον, ὅτι ἐλογίσθη (it was credited) αὐτῷ· ἀλλὰ καὶ δι' ἡμᾶς…

39. ...ὃς παρεδόθη διὰ τὰ παραπτώματα (transgressions) ἡμῶν, καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν (justification) ἡμῶν. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:25)

40. …ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός…

41. ἐγὼ δὲ ἀπέθανον· καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον· (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 7:9-10)

42. Τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη (which is seen) οὐκ ἔστιν ἐλπίς·

43. Πιστὸς ὁ θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν (fellowship) τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 1:9)

44. Μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν, ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; Εὐχαριστῶ (I give thanks) τῷ θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα, εἰ μὴ Κρίσπον καὶ Γάϊον· ἵνα μή τις εἴπῃ (might … say) ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. Ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον·

45. Καὶ γὰρ ἐν ἑνὶ πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες (Greeks), εἴτε δοῦλοι εἴτε ἐλεύθεροι (free)· (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 12:13)

46. Εἰ δέ, ζητοῦντες (seeking) δικαιωθῆναι (to be justified) ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χριστὸς ἁμαρτίας διάκονος;

47. Τῷ δὲ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει, Καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, Καὶ τῷ σπέρματί σου, ὅς ἐστιν Χριστός. (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 3:16)

48. Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ (the least) πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη…

49. Ἓν σῶμα καὶ ἓν πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις… (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 4:4)

50. Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε (did not learn) τὸν Χριστόν, εἴγε (if indeed) αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ·

51. ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν πνεύματι ἁγίῳ, καὶ ἐν πληροφορίᾳ (full assurance) πολλῇ… (ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α 1:5)

52. …θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη (was justified) ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη (was preached) ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ…

53. Καὶ ἐπληρώθη ἡ γραφὴ …, Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη (it was credited) αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος (friend) θεοῦ ἐκλήθη. (ΙΑΚΩΒΟΥ 2:23)

54. Οἶδα τὰ ἔργα σου καὶ ποῦ κατοικεῖς (you dwell), ὅπου ὁ θρόνος τοῦ Σατανᾶ· … καὶ οὐκ ἠρνήσω (you did … deny) τὴν πίστιν μου ἐν ταῖς ἡμέραις ⌜ἐν αἷς⌝ Ἀντίπας … ὃς ἀπεκτάνθη…

55. …οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι (to open) τὸ βιβλίον, οὔτε βλέπειν (to understand) αὐτό. (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 5:4)

56. …καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

57. Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις (plagues), οὐ μετενόησαν (did … repent) ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν… (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 9:20)

58. Καὶ ⌜ἠνοίγη⌝ ὁ ναὸς τοῦ θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς (ark) τῆς διαθήκης ⌜τοῦ κυρίου⌝ ἐν τῷ ναῷ αὐτοῦ·

59. …οὐδὲ τόπος εὑρέθη αὐτῷ ἔτι ἐν τῷ οὐρανῷ. Καὶ ἐβλήθη ὁ δράκων (the dragon) ὁ μέγας… (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 12:8-9)

60. …καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον (war) ποιῆσαι (to make)…

61. Καὶ εἶδον τοὺς νεκρούς, τοὺς μεγάλους καὶ τοὺς μικρούς … ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία (books)⌜ ἠνεῴχθησαν· ⌝καὶ ἄλλο βιβλίον (book) ἠνεῴχθη, ὅ ἐστιν τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ … κατὰ τὰ ἔργα αὐτῶν. Καὶ ἔδωκεν ἡ θάλασσα τοὺς⌜ νεκροὺς τοὺς ἐν αὐτῇ, ⌝καὶ ὁ Θάνατος καὶ ὁ Ἅδης (Hades) ἔδωκαν τοὺς⌜ νεκροὺς τοὺς ἐν αὐτοῖς· ⌝καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν. (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 20:12-13)

62. καὶ εἴ τις οὐχ εὑρέθη ἐν⌜ τῷ βιβλίῳ ⌝(book) τῆς ζωῆς … ἐβλήθη εἰς τὴν λίμνην (lake) τοῦ πυρός.

63. Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, ὁ λεγόμενος (who is called) Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες (fourteen)· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 1:16-17)

64. …ὁ Ἰησοῦς ἀνέβη εὐθὺς (immediately) ἀπὸ τοῦ ὕδατος· καὶ ἰδού, ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδεν τὸ πνεῦμα τοῦ θεοῦ καταβαῖνον (descending)…

65. Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις (to the ancients), Οὐ φονεύσεις (you shall … murder)· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:21)

66. Ἠκούσατε ὅτι ἐρρέθη, Ἀγαπήσεις τὸν πλησίον (neighbor) σου…

67. Ὁ δὲ Ἰησοῦς … εἶπεν, … θύγατερ (daughter)· ἡ πίστις σου σέσωκέν (has healed) σε. Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 9:22)

68. …ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία (pleasing) ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει (knows) τὸν υἱόν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει (knows), εἰ μὴ ὁ υἱός…

69. Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν (after departing) ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας ἐκάθητο (sat) παρὰ τὴν θάλασσαν. Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 13:1-2)

70. Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης … τὴν ἀκοὴν (report) Ἰησοῦ, καὶ εἶπεν τοῖς παισὶν (servants) αὐτοῦ, Οὗτός ἐστιν Ἰωάννης …· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν…

20.7 VOCABULARY

Verbs

1. **δικαιόω** — I justify, declare righteous — Rom 3:24
   δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι
   being justified freely by His grace

2. **διώκω** — I seek, pursue — Acts 9:4
   Σαούλ, Σαούλ, τί με **διώκεις**;
   Saul, Saul, why are you **persecuting** me?

3. **ἐγγίζω** — I draw near — Acts 9:3
   ἐγένετο αὐτὸν **ἐγγίζειν** τῇ Δαμασκῷ·
   it happened that while he **was drawing near** to Damascus

4. **ἐπιγινώσκω** — I know, understand — Matt 11:27
   οὐδεὶς **ἐπιγινώσκει** τὸν υἱόν, εἰ μὴ ὁ πατήρ·
   no one **knows** the Son except the Father

5. **ἑτοιμάζω** — I prepare — Luke 3:4
   Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου·
   Prepare the way of the Lord

6. **εὐχαριστέω** — I give thanks — 1 Cor 1:4
   Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε περὶ ὑμῶν
   I give thanks to my God always for you

7. **εὐλογέω** — I bless — Eph 1:3
   ὁ **εὐλογήσας** ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ
   He who blessed us with every spiritual blessing

8. **θαυμάζω** — I marvel, wonder — Gal 1:6
   Θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς
   I marvel that so quickly you turn from Him who called you

9. **κλαίω** — I cry out, weep
   a. Ῥαχὴλ **κλαίουσα** τὰ τέκνα αὐτῆς — Matt 2:18
      Rachel **weeping** for her children
   b. ἐξελθὼν ἔξω **ἔκλαυσεν** πικρῶς. — Matt 26:75
      after leaving **he wept** bitterly

10. **λογίζομαι** — I consider, account — Rom 4:5
    λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην.
    his faith **is accounted** as righteousness

11. **μισέω** I hate John 3:20
    Πᾶς γὰρ ὁ φαῦλα πράσσων **μισεῖ** τὸ φῶς
    for everyone practicing evil **hates** the light

12. **οἰκοδομέω** I build Mark 14:58
    ἄλλον ἀχειροποίητον οἰκοδομήσω.
    I will build another not made with hands

13. **παραγίνομαι** I arrive Acts 24:24
    Μετὰ δὲ ἡμέρας τινάς, **παραγενόμενος** ὁ Φῆλιξ
    After some days Felix **having arrived**

14. **πάσκω** I suffer
    a. εἴτε **πάσχει** ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη· 1 Cor 12:26
       if one member **suffers**, all members suffer with it
    b. Δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ **παθεῖν** Luke 9:22
       It is necessary for the Son of Man **to suffer** many things

Noun

15. **τὸ μνημεῖον**, ου tomb Luke 11:47
    ὅτι οἰκοδομεῖτε τὰ **μνημεῖα** τῶν προφητῶν
    because you build the **tombs** of the prophets

Adjectives

16. **ἱκανός, ή, όν** sufficient, competent 2 Tim 2:2
    οἵτινες **ἱκανοὶ** ἔσονται καὶ ἑτέρους διδάξαι.
    who will be **competent** to teach others

Conjunctions

17. **μηδέ** and not, not even, nor Mark 12:24
    μὴ εἰδότες τὰς γραφάς, **μηδὲ** τὴν δύναμιν τοῦ θεοῦ
    neither knowing the Scriptures **nor** the power of God

18. **ὅπως** so that 2 Cor 8:14
    ὅπως γένηται ἰσότης
    so that there might be equality

Adverbs

19. **εὐθύς** immediately John 13:30
    Λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, **εὐθέως** ἐξῆλθεν·
    Therefore, after taking the bread, he departed **immediately**.

20. **ἤδη** already Luke 21:30
    γινώσκετε ὅτι **ἤδη** ἐγγὺς τὸ θέρος ἐστίν.
    you know that summer is **already** near

21 PERFECT INDICATIVE VERBS

21.1 GRAMMAR

21.1.1 Perfect Tense

As mentioned in 3.2.2, tense conveys **how** the action (or state) is described by the speaker/writer and **when** that action occurs in reference to the time of the speaker/writer. In terms of how, the perfect tense presents an action in summary form but also with continuing results. In terms of when, the perfect tense presents an action as occurring in the past but whose results continue into the present, both time references being from the perspective of the speaker/writer. The following chart compares these features with other tenses already studied.

Tense	Example	How Action Presented	When†
Present	He runs.	In progress or continuing	Present
Future	He will run.	In summary form	Future
Imperfect	He was running.	In progress or continuing	Past
Aorist	He ran.	In summary form	Past
Perfect	**He has run.**	**In summary form with continuing results**	**Past with present results**

† The time is with respect to the speaker or writer.

The above explanation is a simplification for the purposes of beginning Greek. Other possibilities and variations exist depending on the specific context.

21.1.2 Voice

The following table provides examples of the active and passive voice for various tenses. Middle voice is not included because it is frequently translated as active.

Tense	Active Voice	Passive Voice
Present	God loves John.	John is loved by God.
Future	God will love John.	John will be loved by God.
Imperfect	God was loving John.	John was being loved by God.
Aorist	God loved John.	John was loved by God.
Perfect	**God has loved John.**	**John has been loved by God.†**

† Because the main focus in the Greek perfect tense is on the result or state, the perfect in English may not always be the best translation. Often the best translation may be an English present (John has been loved by God).

21.1.3 Overview of the Perfect Active Indicative Parts

λέλυκα

λε	λυ	κα	-
Reduplication	**Perfect Active Tense Stem**	**Perfect Tense Marker**	**Active Ending (1s)**

Root: λυ*

21.1.4 Overview of the Perfect Middle/Passive Indicative Parts

λέλυμαι

λε	λυ	μαι
Reduplication	**Perfect Passive Tense Stem**	**Middle/Passive Ending (1s)**

Root: λυ*

21.1.5 Reduplication

Verbs in the perfect tense have an identifying feature called "reduplication." Reduplication occurs on perfect tense verbs of any mood.[1] It usually involves one of three changes to the verb's form. If the basic verb begins with…

1. a single consonant, the consonant is doubled and epsilon (ε) is inserted between them.
2. multiple consonants, epsilon (ε) is added to the beginning of the stem.
3. a vowel, that vowel is lengthened according to the patterns for the augment.

In instances 2 and 3, the reduplication looks identical to the augment. You will have to use other clues such as the tense marker, verbal endings, and context to determine whether the marker is an augment or reduplication. Examples for all three groups are shown in the following table.

[1] This is one way the reduplication is different from the augment. The augment only appears on imperfect and aorist verbs in the **indicative** mood. Reduplication appears on perfect tense verbs of any mood, be it indicative, subjunctive, or imperative. It also occurs on participles and infinitives.

Group	Dictionary Form	Perfect Active Stem	Reduplication
Reduplication is duplication of initial consonant plus epsilon (ε).			
1.	λύω	λυ-	**λε**λυ-
	γράφω	γραπ-	**γε**γραπ-
	γεννάω	γενν-	**γε**γεννα-
	λαλέω	λαλε-	**λε**λαλε-
	πληρόω	πληρο-	**πε**πληρο-
	δίδωμι	δο-	**δε**δο-
	παραδίδωμι	παρα+δο-	παρα**δε**δο-†
Reduplication is epsilon (ε).			
2.	γινώσκω	γνω-	**ἐ**γνω-
	σταυρόω	σταυ-	**ἐ**σταυρο-
	ἀποστέλλω	ἀπο+σταλ-	ἀπε**σ**ταλ-†
Reduplication is lengthening of the initial stem vowel.			
3.	ἀκολουθέω	ἀκολουθε-	**ἠ**κολουθε-
	ἐγγίζω	ἐγγιδ-	**ἠ**γγιδ-
	συνάγω	συν+αγ-††	συν**η**γ-†

† Verbs with a prefixed preposition have the reduplication between the preposition and basic verb.

†† This is the perfect passive stem of συνάγω. The perfect active form, which does not have gamma (γ), does not occur in the New Testament.

21.1.6 Tense Marker

The perfect active tense marker for many verbs is kappa-alpha (κα). Other verbs simply use alpha (α). The perfect middle/passive does not use a tense marker. This completes the tense marker table for indicative verb.

Tense	Active	Middle	Passive
Present	-	-	-
Future	σ†	σ	θησ††
Imperfect	-	-	-
2nd Aorist	-	-	θη††††
1st Aorist	σα	σα	
	α (liquid verbs)	α (liquid verbs)	
	κα (mi verbs)†††	-	
Perfect	κα‡	-	-

† Liquid verbs use εσ for this marker.

†† Some verbs use ησ for this marker.

††† Some mi verbs such as ἵστημι use σα for this marker.

†††† Some verbs use η for this marker.

‡ Some verbs use α for this marker.

21.1.7 Chart of Endings: Perfect Indicative Emphasized

Since the perfect is not an augmented tense, its uses primary endings.

P/N	Primary		Secondary
	Separated	Combined†	Separated
Active			
1s	-	**κα**	ν
2s	ς	**κας**	ς
3s	ι	**κε(ν)**	(ν)
1p	μεν	**καμεν**	μεν
2p	τε	**κατε**	τε
3p	νσι(ν)	**κασιν**	ν
Middle/Passive			
1s	μαι	**μαι**	μην
2s	σαι	**σαι**	σο
3s	ται	**ται**	το
1p	μεθα	**μεθα**	μεθα
2p	σθε	**σθε**	σθε
3p	νται	**νται**	ντο

† Some verbs use alpha (α) as the perfect active tense marker.

21.1.8 Perfect Active Tense Stem (P.A. Stem)

This stem is used to form verbs into the perfect active. For some verbs, the perfect active tense stem is identical to the present tense stem. This means the dictionary form of these verbs and, therefore, their meaning is easy to identify. These kinds of verbs do not require extra memorization. Common examples are shown in the following table.

Examples where extra memorization of root or perfect active stem is unnecessary

Present Form	Root	P.A. Stem	Perfect Form (1s)	Translation
λύω	λυ*	λυ-	λέλυκα	I have untied
οἶδα†	-	-	οἶδα	I know
ὁράω	ὁρα*	ὁρα-	ἑώρακα††	I have seen
λαλέω	λαλε*	λαλε-	λελάληκα†††	I have spoken
ποιέω	ποιε*	ποιε-	πεποίηκα†††	I have done

† οἶδα is perfect tense but translated as a present tense. As a second perfect, it uses alpha (α) as the tense marker. Learn the dictionary form.
†† ὁράω experiences double reduplication (lengthening of ο→ω and ε added).
††† Contract vowel lengthens because of the tense marker (α→η; ε→η; ο→ω).

For other verbs, the perfect active tense stem is not identical to the present tense stem. This means their dictionary form is not as easy to identify. However, the perfect tense stem of these verbs is identical or similar to the root. These roots should be memorized. Common examples are shown in the following table.

Examples where the root should be memorized

Present Form	Root	P.A. Stem	Perfect Form (1s)	Translation
δίδωμι	**δο***	δο-	δέδωκα	I have given
ἵστημι	**στα***	στα-	ἕστηκα	I stand†
γίνωσκω	**γνω***	γνω-	ἔγνωκα	I have known
ἐγγίζω	**ἐγγιδ***	ἐγγιδ-	ἤγγικα	I have drawn near
ἀποστέλλω	**ἀπο+στελ***	ἀποστελ-	ἀπέσταλκα	I have sent
† ἵστημι often occurs in the perfect but is translated with the present tense.				

For a third group of verbs, the perfect active tense stem is not identical to the present tense stem or root. This means their dictionary form is harder to identify. Thus, the perfect active form (1s) should be memorized. Common examples are shown in the following table.

Examples where the perfect active form (1s) should be memorized

Present Form	Root	P.A. Stem	Perfect Form (1s)	Translation
γίνομαι	γεν*	γεν-	**γέγονα**†	I have become
ἔρχομαι	ἐρχ*	ἐλευθ-	**ἐλήλυθα**†	I have come
λέγω	λεγ*	ἐρ-	**εἴρηκα**	I have said
λαμβάνω	λαβ*	λαβ-	**εἴληφα**†	I have received
πείθω	πειθ*	πειθ-	**πέποιθα**†	I have convinced
† These verbs are second perfects. Alpha (α) is the tense marker.				

21.1.9 Perfect Passive Tense Stem (P.P. Stem)

This stem is used to form verbs into the perfect middle/passive. For some verbs, the perfect passive tense stem is identical to the present tense stem. This means the dictionary form of these verbs and, therefore, their meaning is easy to identify. These kinds of verbs do not require extra memorization. Common examples are shown in the following table. Third person singular (3s) forms are provided because they are by far the most common for this tense and voice.

Examples where extra memorization of root or perfect passive stem is unnecessary

Present Form	Root	P.P. Stem	Perfect Form (3s)	Translation
λύω	λυ*	λυ-	λέλυται	he/she/it has been untied
γράφω	γραφ*	γραφ-	γέγραπται	it has been written†
πληρόω††	πληρο*	πληρο-	πεπλήρωται	it has been fulfilled†
† Neuter translation fits best in most New Testament contexts as does the English present "it is written" or "it is fulfilled". †† Contract vowel lengthens upon adding ending (α→η; ε→η; ο→ω).				

For other verbs, the perfect passive tense stem is not identical to the present tense stem. This means their dictionary form is not as easy to identify. However, the perfect tense stem of these verbs is identical or similar to the root. These roots should be memorized. Common examples are shown in the following table.

Examples where the root should be memorized

Present Form	Root	P.P. Stem	Perfect Form (3s)	Translation
δίδωμι	**δο***	δο-	δέδοται	he/she/it has been given
ἀφίημι	**ἀπο+ἐ***	ἀφε-	ἀφέωνται	he/she/it has been forgiven

For a third group of verbs, the perfect passive tense stem is not identical to the present tense stem or root. This means their dictionary form is harder to identify. Thus, the perfect passive form (3s) should be memorized. An example is shown in the following table.

Example where the perfect passive form (3s) should be memorized

Present Form	Root	P.P. Stem	Perfect Form (3s)	Translation
ἐγείρω	ἐγερ*	ἐγερ-	**ἐγήγερται**†	he has been raised
† ἐγείρω experiences double reduplication.				

21.2 OMEGA VERBS: PERFECT INDICATIVE (ALL VOICES)

Memorize these forms of λύω.

21.2.1 Perfect Active Indicative Pattern of λύω

Pronoun	Redup.	Stem	T.M.	Ending	Form	Translation
Singular						
ἐγώ	λε	λυ-	κα	-	**λέλυκα**	I have untied
σύ				ς	**λέλυκας**	you have untied
αὐτός, ή, ό				ν	**λέλυκε(ν)**	he/she/it has untied
Plural						
ἡμεῖς	λε	λυ-	κα	μεν	**λελύκαμεν**	we have untied
ὑμεῖς				τε	**λελύκατε**	you (pl) have untied
αὐτοί, αί, ά				σιν	**λελύκασιν**	they have untied

21.2.2 Perfect Middle/Passive Indicative Pattern of λύω

Pronoun	Redup.	Stem	Ending	Form	Translation
Singular					
ἐγώ	λε	λυ-	μαι	**λέλυμαι**	I have been untied
σύ			σαι	**λέλυσαι**	you have been untied
αὐτός, ή, ό			ται	**λέλυται**	he/she/it has been untied
Plural					
ἡμεῖς	λε	λυ-	μεθα	**λελύμεθα**	we have been untied
ὑμεῖς			σθε	**λέλυσθε**	you (pl) have been untied
αὐτοί, αί, ά			νται	**λέλυνται**	they have been untied

21.3 MI VERBS: PERFECT INDICATIVE (ALL VOICES)

Memorization of these forms is not necessary.

21.3.1 Perfect Active Indicative Pattern of Mi Verbs

Students sometimes confuse the perfect and aorist tense of mi verbs because the tense marker is often the same (κα).[2] It is helpful to remember that the perfect tense will have the duplication with epsilon (**δέ**δωκα, **ἕ**στηκα, **τέ**θεικα), and the aorist will have the augment (**ἔ**δωκα, **ἔ**στην, **ἔ**θηκα).

Pronoun	**Dictionary Form (Uses Present Tense Stem)**				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Perfect Active Stem				
	λυ*	δο*	στα*	θε*	ἀπο+ἑ*
Singular					
ἐγώ	λέλυκα	**δέ**δω**κα**	**ἕ**στη**κα**	**τέ**θει**κα**	-
σύ	λέλυκας	**δέ**δω**κας**	**ἕ**στη**κας**	-	-
αὐτός, ή, ό	λέλυκεν	**δέ**δω**κε(ν)**	**ἕ**στη**κε(ν)**	-	-
Plural					
ἡμεῖς	λελύκαμεν	-	ἑστή**καμεν**	-	-
ὑμεῖς	λελύκατε	-	ἑστή**κατε**	τεθεί**κατε**	-
αὐτοί, αί, ά	λελύκασιν	-	ἑστή**κασιν**	-	-

21.3.2 Perfect Middle/Passive Indicative Pattern of Mi Verbs

Pronoun	**Dictionary Form (Uses Present Tense Stem)**				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Perfect Passive Stem				
	λυ*	δο*	στα*	θε*	ἀπο+ἑ*
Singular					
ἐγώ	λέλυμαι	-	-	-	-
σύ	λέλυσαι	-	-	-	-
αὐτός, ή, ό	λέλυται	**δέ**δο**ται**	-	**τέ**θει**ται**	-
Plural					
ἡμεῖς	λελύμεθα	-	-	-	-
ὑμεῖς	λέλυσθε	-	-	-	-
αὐτοί, αί, ά	λέλυνται	-	-	-	ἀφέω**νται**

[2] The tense marker for perfect active mi verbs is always kappa-alpha (κα). For aorist mi verbs, it is often kappa-alpha (κα) and sometimes sigma-alpha (σα).

21.4 CONTRACT VERBS: PERFECT INDICATIVE (ALL VOICES)

Memorization of these forms is not necessary.

21.4.1 Perfect Active Patterns of Contract Verbs

Pronoun	**λύω**	**ποιέω**	**γεννάω**	**πληρόω**
Singular				
ἐγώ	λέλυκα	**πε**ποίη**κα**	**γε**γέννη**κα**	-
σύ	λέλυκας	**πε**ποίη**κας**	**γε**γέννη**κας**	-
αὐτός, ή, ό	λέλυκε(ν)	**πε**ποίη**κε(ν)**	**γε**γέννη**κε(ν)**	**πε**πλήρω**κε(ν)**
Plural				
ἡμεῖς	λελύκαμεν	**πε**ποιή**καμεν**	**γε**γεννή**καμεν**	-
ὑμεῖς	λελύκατε	**πε**ποιή**κατε**	**γε**γεννή**κατε**	**πε**πληρώ**κατε**
αὐτοί, αί, ά	λελύκασιν	**πε**ποίη**καν**	**γε**γεννή**κασιν**	-

21.4.2 Perfect Middle/Passive Pattern of Contract Verbs

Pronoun	**λύω**	**ποιέω**	**γεννάω**	**πληρόω**
Singular				
ἐγώ	λέλυμαι	**πε**ποίη**μαι**	**γε**γέννη**μαι**	-
σύ	λέλυσαι	**πε**ποίη**σαι**	-	-
αὐτός, ή, ό	λέλυται	**πε**ποίη**ται**	**γε**γέννη**ται**	**πε**πλήρω**κεν**
Plural				
ἡμεῖς	λελύμεθα	**πε**ποίη**σθε**	**γε**γεννή**μεθα**	-
ὑμεῖς	λέλυσθε	-	**γε**γέννη**σθε**	**πε**πληρώ**κατε**
αὐτοί, αί, ά	λέλυνται	**πε**ποίη**νται**	-	-

21.5 SECOND PERFECT OF οἶδα AND γίνομαι

Second perfects use alpha (α) as the tense marker instead of kappa-alpha (κα).

21.5.1 Perfect Active Forms of οἶδα

The verb οἶδα is the most common perfect tense verb in the New Testament. Although the form is perfect, it is translated as a present tense. Other second perfect verbs should normally be translated as a regular perfect.

Pronoun	Form	Translation
Singular		
ἐγώ	οἶδα	I know
σύ	οἶδας	you know
αὐτός, ή, ό	οἶδε(ν)	he/she/it knows
Plural		
ἡμεῖς	οἴδαμεν	we know
ὑμεῖς	οἴδατε	you (pl) know
αὐτοί, αί, ά	οἴδασιν	they know

21.5.2 Perfect Active Forms of γίνομαι

Pronoun	Form	Translation
Singular		
ἐγώ	γέγον**α**	I have been, have become
σύ	γέγον**ας**	you have been, have become
αὐτός, ή, ό	γέγον**ε(ν)**	he/she/it has been, has become
Plural		
ἡμεῖς	γεγόν**αμεν**	we have been, have become
ὑμεῖς	γεγόν**ατε**	you (pl) have been, have become
αὐτοί, αί, ά	γεγόν**ασιν**	they have been, have become

21.6 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**.

1. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ **κέκραγεν** λέγων (saying)… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:15)

2. Θεὸν οὐδεὶς **ἑώρακεν** πώποτε (ever)·

3. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων (saying), Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν **ἕστηκεν** ὃν ὑμεῖς οὐκ οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:26)

4. Κἀγὼ (and I) ἑώρακα, καὶ **μεμαρτύρηκα** ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ θεοῦ.

5. Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ, Ὃν ἔγραψεν Μωσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται **εὑρήκαμεν**, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:45)

6. οὗτος ἦλθεν πρὸς ⌜αὐτὸν⌝ νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ **ἐλήλυθας** διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν (to do) ἃ σὺ ποιεῖς…

7. ὁ δὲ μὴ πιστεύων (he who does … believe) ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ **ὄνομα** τοῦ μονογενοῦς (only begotten) υἱοῦ τοῦ θεοῦ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:18)

8. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ **ἠγάπησαν** οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα.

9. Καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ, Ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν (across) τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ **πάντες** ἔρχονται πρὸς αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:26)

10. Ὁ πατὴρ ἀγαπᾷ τὸν **υἱόν**, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ.

11. αὐτοὶ γὰρ **ἀκηκόαμεν**, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς (truly) ὁ σωτὴρ (the Savior) τοῦ κόσμου, ὁ Χριστός. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:42)

12. Οὐδὲ γὰρ ὁ πατὴρ κρίνει **οὐδένα**, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ υἱῷ· ἵνα πάντες τιμῶσιν (might honor) τὸν υἱόν, καθὼς τιμῶσιν (they honor) τὸν πατέρα.

13. Ὑμεῖς **ἀπεστάλκατε** πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν (testimony) λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε (might be saved). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:33-34)

14. τὰ γὰρ ἔργα ἃ **ἔδωκέν** μοι ὁ πατὴρ ἵνα τελειώσω (that I might complete) αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκεν.

15. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' **ἔγνωκα** ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:41-43)

16. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς **δέδωκεν** ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν (true).

17. Εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα, Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν (to depart); Ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος, Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; Ῥήματα ζωῆς αἰωνίου ἔχεις. Καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ **ἐγνώκαμεν** ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος (living). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:67-69)

18. Οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν νόμον, καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον; Τί με ζητεῖτε ἀποκτεῖναι (to kill); Ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπεν, Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι (to kill); Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἓν ἔργον **ἐποίησα**, καὶ πάντες θαυμάζετε. Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν (circumcision) - οὐχ ὅτι ἐκ τοῦ Μωσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων…

19. καὶ οἴδατε πόθεν (from where) εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ **ἐλήλυθα**… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 7:28)

20. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι (to kill), ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ (have room) ἐν ὑμῖν. Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ **πατρὶ** ὑμῶν, ποιεῖτε. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ⌜ ἐποιεῖτε. ⌝ Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι (to kill), ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν.

21. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ ὁ θεὸς **πατὴρ** ὑμῶν ἦν, ἠγαπᾶτε ἂν (makes contingent = you would have loved) ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω (I have come)· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:42)

22. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν **ἐγνώκαμεν** ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ (should keep), οὐ μὴ γεύσηται (he will by no means taste) θανάτου εἰς τὸν αἰῶνα.

23. Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν, Πεντήκοντα (fifty) ἔτη οὔπω (not even) ἔχεις, καὶ **Ἀβραὰμ** ἑώρακας; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:57)

24. Ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς (parents) αὐτοῦ καὶ εἶπον, Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς **ἡμῶν**, καὶ ὅτι τυφλὸς ἐγεννήθη·

25. Ἡμεῖς **οἴδαμεν** ὅτι Μωσῃ λελάληκεν ὁ θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν (from where) ἐστίν. Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:29-30)

26. Ὁ πατήρ μου ὃς **δέδωκέν** μοι, μείζων (greater; from μέγας) πάντων ἐστίν· καὶ οὐδεὶς δύναται ἁρπάζειν (to snatch) ἐκ τῆς χειρὸς τοῦ πατρός μου. Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.

27. Λέγει αὐτῷ Μάρθα, Οἶδα ὅτι **ἀναστήσεται** ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:24-25)

28. Λέγει αὐτῷ, Ναί (Yes), κύριε· ἐγὼ **πεπίστευκα**, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ…

29. ἄλλοι **ἔλεγον**, Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ⌜ Ἰησοῦς ⌝ καὶ εἶπεν, Οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶν τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω (out). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 12:29-31)

30. **εἶπεν** αὐτοῖς, Γινώσκετε τί πεποίηκα ὑμῖν; Ὑμεῖς φωνεῖτέ με, Ὁ διδάσκαλος, καὶ Ὁ κύριος· καὶ καλῶς (rightly) λέγετε, εἰμὶ γάρ.

31. Εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν (contingency = would have known)· καὶ ἀπ' ἄρτι γινώσκετε αὐτόν, καὶ ἑωράκατε αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:7)

32. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; Ὁ ἑωρακὼς (He who has seen) ἐμέ, ἑώρακεν τὸν πατέρα·

33. καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:10-11).

34. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν πατέρα μου.

35. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρεν (lifted up) τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ εἶπεν, Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν (glorify) σου τὸν υἱόν… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:1)

36. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ τὸν λόγον σου τετηρήκασιν. Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν· ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι, δέδωκα αὐτοῖς· καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς (truly) ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσιν·

37. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς (You might take) αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς (You might keep) αὐτοὺς ἐκ τοῦ πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσίν, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:14-16)

38. Ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ (where) ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητής, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον.

39. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν, Εἰρήνη ὑμῖν· καθὼς ἀπέσταλκέν με ὁ πατήρ, κἀγὼ (I also) πέμπω ὑμᾶς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 20:21)

40. Τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε (so that you might be) εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς.

41. Δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται (is revealed) ἐκ πίστεως εἰς πίστιν, καθὼς γέγραπται, Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 1:17)

42. …καθὼς γέγραπται ⌜ ὅτι ⌝ Οὐκ ἔστιν δίκαιος οὐδὲ εἷς·

43. Νυνὶ δὲ χωρὶς (apart) νόμου δικαιοσύνη θεοῦ πεφανέρωται, μαρτυρουμένη (being witnessed) ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν· (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 3:21)

44. …καθὼς γέγραπται ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε…

45. Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ … δυνήσεται ἡμᾶς χωρίσαι (to separate) ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 8:38-39)

46. Οἶδα καὶ πέπεισμαι ἐν κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν (common) δι' αὐτοῦ·

47. ἀλλὰ λαλοῦμεν σοφίαν θεοῦ … ἣν προώρισεν (foresaw) ὁ θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν· ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ἀλλὰ καθὼς γέγραπται, Ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὗς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν (for those who love) αὐτόν. (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 2:7-9)

48. Οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν;

49. ἐν δὲ εἰρήνῃ κέκληκεν ἡμᾶς ὁ θεός. (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 7:15)

50. Παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· καὶ ὅτι ἐτάφη (He was buried)· καὶ ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς· καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα (then) τοῖς δώδεκα·

51. Εἴτε (whether) οὖν ἐγώ, εἴτε (or) ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε. Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσίν τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; Εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται· (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 15:11-13)

52. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν (vain) … τὸ κήρυγμα (message) ἡμῶν, κενὴ (vain) δὲ καὶ ἡ πίστις ὑμῶν.

53. Εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες (false witnesses) τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ (since) … νεκροὶ οὐκ ἐγείρονται. Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· (1 ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 15:15-16)

54. εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία (useless) ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν.

55. Γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 4:22)

56. …τὴν πίστιν τετήρηκα·

57. Τίνι γὰρ εἶπέν ποτε (ever) τῶν ἀγγέλων, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον (today) γεγέννηκά σε; Καὶ πάλιν, Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 1:5)

58. Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν (touched) περὶ τοῦ λόγου τῆς ζωῆς. Καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν, καὶ μαρτυροῦμεν, καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα, καὶ ἐφανερώθη ἡμῖν.

59. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν (we keep). (ΙΩΑΝΝΟΥ Α 2:3)

60. Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι (young men), ὅτι νενικήκατε (you have overcome) τὸν πονηρόν. Γράφω ὑμῖν, παιδία, ὅτι ἐγνώκατε τὸν πατέρα. Ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς.

61. Πᾶς ὁ ἐν αὐτῷ μένων (who abides) οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων (who sins) οὐχ ἑώρακεν αὐτόν, οὐδὲ ἔγνωκεν αὐτόν. (ΙΩΑΝΝΟΥ Α 3:5-6)

62. Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι (to lay down).

63. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. (ΙΩΑΝΝΟΥ Α 4:13-14)

64. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. Ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων (he who abides) ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ θεὸς ἐν ⌜ αὐτῷ μένει. ⌝

65. Εὐχαριστοῦμέν (we give thanks) σοι, κύριε ὁ θεὸς … ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην, καὶ ἐβασίλευσας (You reign). (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 11:17)

66. Μετανοεῖτε (Repent)· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

67. Ὁ δὲ … εἶπεν, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ (proceeding) διὰ στόματος θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον (pinnacle) τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:4-6)

68. γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται (He will order) περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε…

69. γέγραπται γάρ, Κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (you shall serve). Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος (the devil)· καὶ ἰδού, ἄγγελοι προσῆλθον… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:10-11)

70. Ὁ δὲ Ἰησοῦς … εἶπεν, Θάρσει (Take heart), θύγατερ (daughter)· ἡ πίστις σου σέσωκέν σε. Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

71. Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:7)

72. οὗτος γάρ ἐστιν περὶ οὗ γέγραπται, Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει (will prepare) τὴν ὁδόν σου ἔμπροσθέν σου.

73. …εἶπεν αὐτοῖς ὅτι Ὑμῖν δέδοται γνῶναι (to know) τὰ μυστήρια (the mysteries) τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 13:11-12)

74. Ὁ δὲ εἶπεν αὐτοῖς, Οὐ πάντες χωροῦσιν (accept) τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται.

75. Καὶ λέγει αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον (a den) λῃστῶν (of thieves). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:13)

76. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ (woe) δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

77. ἰδού, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:45)

78. Οὐκ οἶδα τὸν ἄνθρωπον.

79. …ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων (preaching) τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων (saying) ὅτι Πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:14-15)

80. …τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ἀπολέσαι (to destroy) ἡμᾶς; Οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.

21.7 VOCABULARY

Verbs

1. **ἀσθενέω** — I am sick, weak — James 5:14
   Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους
   Is someone among you **sick**? Let him call for the elders

2. **βλασφημέω** — I blaspheme — Acts 26:11
   κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον **βλασφημεῖν**·
   in all the synagogues punishing them, I was forcing them **to blaspheme**.

3. **περισσεύω** — I abound — 1 Cor 15:58
   περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε
   always **abounding** in the word of the Lord

4. **πλανάω** — I deceive — 1 John 1:8
   Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς **πλανῶμεν**
   If we say that we have not sinned, **we deceive** ourselves

5. **πράσσω** — I practice, do — Rom 7:15
   οὐ γὰρ ὃ θέλω, τοῦτο **πράσσω**·
   for what I want, **I practice** those things.

Nouns

6. **ἡ ἐπιθυμία**, ας — desire, lust
   a. **Ἐπιθυμίᾳ** ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν — Luke 22:15
      I have desired **with desire** (greatly desired) to eat this Passover with you
   b. Εἶτα ἡ **ἐπιθυμία** συλλαβοῦσα τίκτει ἁμαρτίαν· — James 1:15
      Then **desire**, having conceived, gives birth to sin.

7. **ἡ θύρα**, ας — door — Rev 3:20
   Ἰδού, ἕστηκα ἐπὶ τὴν **θύραν** καὶ κρούω·
   Behold, I stand at the **door** and knock.

8. **τὸ πρόβατον**, ου — sheep — John 21:16
   Λέγει αὐτῷ, Ποίμαινε τὰ **πρόβατά** μου.
   He said to him, "Feed my **sheep**."

9. **τὸ τέλος**, τέλους — end, goal — Matt 24:14
   καὶ τότε ἥξει τὸ **τέλος**.
   and then the **end** will come.

Adjectives

10. **διάβολος, ον** — slanderous, as noun: devil — John 8:44
    Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ **διαβόλου** ἐστέ
    You are from your father, the **devil**.

11. **καινός, ή, όν** new Luke 22:20
Τοῦτο τὸ ποτήριον ἡ **καινὴ** διαθήκη ἐν τῷ αἵματί μου
This cup is the **new** covenant in my blood

Preposition

12. **χωρίς** with the genitive without, apart from John 15:5
χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.
apart from Me you cannot do anything.

Conjunctions

13. **ἄρα** then, therefore Matt 18:1
Τίς **ἄρα** μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;
Who, **then**, is greater in the kingdom of heaven?

14. **κἀγώ** and I Matt 21:24
κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
and I will say to you with what authority I do these things.

Adverbs

15. **ἄρτι** now 1 Cor 13:12
Βλέπομεν γὰρ **ἄρτι** δι' ἐσόπτρου ἐν αἰνίγματι
For **now** we see through a mirror with dimness

16. **οὐκέτι; μηκέτι** no longer Matt 19:6
Ὥστε **οὐκέτι** εἰσὶν δύο, ἀλλὰ σὰρξ μία·
Thus, they are **no longer** two but one flesh.

17. **πάντοτε** always Matt 26:11
⌜ **Πάντοτε** γὰρ τοὺς πτωχοὺς ⌝ ἔχετε μεθ' ἑαυτῶν
For you **always** have the poor with you

18. **ποῦ** where 1 Cor 1:20
Ποῦ σοφός; **Ποῦ** γραμματεύς; **Ποῦ** συζητητὴς τοῦ αἰῶνος τούτου;
Where is the wise *man*? **Where** is the scribe? **Where** is the disputer of this age?

19. **σήμερον** today Heb 1:5
Υἱός μου εἶ σύ, ἐγὼ **σήμερον** γεγέννηκά σε
You are my Son; **today** I have begotten you

Particle

20. **ἄν** (indicates contingency) ever John 4:10
καὶ ἔδωκεν **ἄν** σοι ὕδωρ ζῶν
and He **would** have given to you living water

22 PRESENT SUBJUNCTIVE VERBS

22.1 GRAMMAR

22.1.1 Non-Indicative Verb Forms

The verb forms presented in the previous chapters were in the indicative mood. The remaining chapters present non-indicative verb forms. These forms include the subjunctive mood (chapters 22-23), participles (chapters 24-26), infinitives (chapter 27), and the imperative mood (chapter 28). Note that participles and infinitives are not technically moods but are forms that share some of the characteristics of verbs such as tense, voice, and number.

22.1.2 Non-Indicative Forms and Tense

The non-indicative forms communicate tense (review 3.2.2). In general, the main tenses of the non-indicative forms are limited to the present, aorist, and perfect. As with the indicative, these tenses communicate **how** the action is presented. The following table summarizes these tenses.

Tense	How Action Is Presented
Present	In progress or continuing
Aorist	In summary form
Perfect	In summary form with continuing results

In terms of the **when**, the subjunctive mood, infinitives, and the imperative mood do not describe the time of an action by their tense forms, although other contextual features may. Participles, on the other hand, often communicate a time element, but it is relative to the time of the main verb.

The above introduction is a simplification for the purposes of beginning Greek. Additional study will reveal that lexical (vocabulary) and contextual features can greatly expand this basic explanation.

22.1.3 Subjunctive Mood in English and Greek

As mentioned in 3.2.4, mood is a grammatical category that presents the communicator's "attitude" about what is said or written. The indicative is the primary mood through which information is given or statements are made. The imperative is the primary mood to command action. The subjunctive is the primary mood to express purpose, result, probability, certainty, desire, opinion, etc.

Of course, language has a great deal of flexibility. Sometimes the indicative can be used to command action or express a condition. Overlap between the moods exists. The nature of that overlap varies depending on the language. That is why the word "primary" is used in the above explanation.

22.1.4 Overview of the Present Active and Middle/Passive Subjunctive Parts

λύω

λυ	ω	-
Present Tense Stem	**Lengthened Connecting Vowel**	**Active Ending (1s)**

Root: λυ*

22.1.5 Present Subjunctive Active and Middle/Passive Endings

A key feature of subjunctive endings is the lengthening of the connecting vowel. Apart from this lengthening, the endings are identical to the present indicative endings.

P/N	Present	
	Indicative	**Subjunctive**
Active		
1s	ω	**ω**
2s	εις	**ῃς**
3s	ει	**ῃ**
1p	ομεν	**ωμεν**
2p	ετε	**ητε**
3p	ουσι(ν)	**ωσι(ν)**
Middle/Passive		
1s	ομαι	**ωμαι**
2s	ῃ	**ῃ**
3s	εται	**ηται**
1p	ομεθα	**ωμεθα**
2p	εσθε	**ησθε**
3p	ονται	**ωνται**

22.1.6 Present Tense Stem

The present tense stem is used to form the present active and middle/passive subjunctive. Review sections 3.3.4 and 4.1.5 for examples.

22.1.7 Key Words for Identifying the Subjunctive

Recognizing the lengthened connecting vowel will help you identify the subjunctive. Another extremely important clue is the presence of certain words that express purpose, possibility, and conditionality. When one of the following words appears, expect the subjunctive to follow. Learn them well.

Key Word	Translation
ἵνα	that, in order that
ἐάν	if
ἄν	ever (indicates contingency)
ὅταν	whenever
ὅπως	so that

Other key words exist, but the above are the most common that have already appeared in the vocabulary.

22.1.8 Examples of the Present Subjunctive

Example 1: καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν **ἔχητε**.
And you do not want to come to me that **you might have** life.

Example 2: **...**ἐὰν **ἔχητε** πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ·
…if **you have** faith like a mustard seed, you will say to this mountain…

Example 3: …καὶ ὃς ἂν **θέλῃ** ἐν ὑμῖν εἶναι πρῶτος ἔσται πάντων δοῦλος·
…and whoever among you **wants** to be first, he will be slave of all.

Example 4: Εἶπεν δὲ αὐτοῖς· ὅταν **προσεύχησθε** λέγετε·
And He said to them, 'Whenever **you might pray**, say…'

Example 5: Ἐγείρεσθε **ἄγωμεν**·
Arise, **let us go**.

Example 6: Τί **ποιῶμεν** ἵνα **ἐργαζώμεθα** τὰ ἔργα τοῦ θεοῦ;
What **should we do** that **we might work** the works of God?

22.2 OMEGA VERBS: PRESENT SUBJUNCTIVE (ALL VOICES)

Memorize the forms of λύω.

22.2.1 Present Active Subjunctive Pattern of λύω

Pronoun	Stem	Ending	Form	Translation	Pres. Indicative
Singular					
ἐγώ	λυ-	ω	λύ**ω**	I may untie	λύω
σύ		ῃς	λύ**ῃς**	you may untie	λύεις
αὐτός, ή, ό		ῃ	λύ**ῃ**	he/she may untie	λύει
Plural					
ἡμεῖς	λυ-	ωμεν	λύ**ωμεν**	we may untie	λύομεν
ὑμεῖς		ητε	λύ**ητε**	you (pl) may untie	λύετε
αὐτοί, αί, ά		ωσι(ν)	λύ**ωσι(ν)**	they may untie	λύουσι(ν)

22.2.2 Present Middle/Passive Subjunctive Pattern of λύω

Pronoun	Stem	Ending	Form	Passive Translation	Pres. Indicative
Singular					
ἐγώ	λυ-	ωμαι	λύ**ωμαι**	I may be untied	λύομαι
σύ		ῃ	λύ**ῃ**	you may be untied	λύῃ
αὐτός, ή, ό		ηται	λύ**ηται**	he/she may be untied	λύεται
Plural					
ἡμεῖς	λυ-	ωμεθα	λυ**ώμεθα**	we may be untied	λυόμεθα
ὑμεῖς		ησθε	λύ**ησθε**	you may be untied	λύεσθε
αὐτοί, αί, ά		ωνται	λύ**ωνται**	they may be untied	λύονται

22.3 MI AND CONTRACT VERBS: PRESENT ACTIVE SUBJUNCTIVE

22.3.1 Mi Verbs: Present Active Subjunctive of εἰμί

Of all mi verbs, only εἰμί occurs regularly enough to warrant giving its forms. Memorize these forms, which are identical to the endings.

Pronoun	**εἰμί**	**Translation**
Singular		
ἐγώ	**ὦ**	I may be
σύ	**ᾖς**	you may be
αὐτός, ή, ό	**ᾖ**	he/she/it may be
Plural		
ἡμεῖς	**ὦμεν**	we may be
ὑμεῖς	**ἦτε**	you (plural) may be
αὐτοί, αί, ά	**ὦσιν**	they may be

22.3.2 Contract Verbs: Present Active Subjunctive of Alpha and Epsilon Verbs

Of the contract verbs, only alpha and epsilon active verbs occur regularly enough to warrant giving their forms. Memorization of these forms is not necessary.

Pronoun	**λύω**	**ποιέω**	**ἀγαπάω**
Singular			
ἐγώ	λύω	ποι**ῶ**	ἀγαπ**ῶ**
σύ	λύῃς	-	-
αὐτός, ή, ό	λύῃ	ποι**ῇ**	ἀγαπ**ᾷ**
Plural			
ἡμεῖς	λύωμεν	ποι**ῶμεν**	ἀγαπ**ῶμεν**
ὑμεῖς	λύητε	ποι**ῆτε**	ἀγαπ**ᾶτε**
αὐτοί, αί, ά	λύωσι(ν)	ποι**ῶσι(ν)**	ἀγαπ**ῶσι(ν)**

22.4 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**.

1. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει. Ἐάν τε γὰρ **ζῶμεν**, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνῄσκωμεν, τῷ κυρίῳ ἀποθνῄσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνῄσκωμεν, τοῦ κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανεν καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων (of the living) κυριεύσῃ (He might be Lord). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 14:7-9)

2. Μηκέτι οὖν ἀλλήλους **κρίνωμεν**·

3. Ἄρα οὖν τὰ τῆς εἰρήνης **διώκωμεν**, καὶ τὰ τῆς οἰκοδομῆς (of edification) τῆς εἰς ἀλλήλους. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 14:19)

4. **Παρακαλῶ** δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα (divisions)…

5. Ὅταν γὰρ **λέγῃ** τις, Ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δέ, Ἐγὼ Ἀπολλώ, οὐχὶ σαρκικοί (carnal) ἐστε; Τίς οὖν ἐστιν Παῦλος, τίς δὲ Ἀπολλώς, ἀλλ' ἢ διάκονοι (ministers) δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν; (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 3:4-5)

6. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ (lusts) κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται (oppose) ἀλλήλοις, ἵνα μὴ ἃ ἂν **θέλητε**, ταῦτα ποιῆτε. Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

7. Ἄρα οὖν ὡς καιρὸν (opportunity) ἔχομεν, ἐργαζώμεθα τὸ **ἀγαθὸν** πρὸς πάντας… (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 6:10)

8. ἐὰν πίστιν λέγῃ τις ἔχειν (to have), ἔργα δὲ μὴ **ἔχῃ**; Μὴ δύναται ἡ πίστις σῶσαι (to deliver) αὐτόν;

9. Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστιν καθ' ἑαυτήν. Ἀλλ' **ἐρεῖ** τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν (Show) μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. (ΙΑΚΩΒΟΥ 2:17-18)

10. ἐὰν δὲ ἐν τῷ φωτὶ **περιπατῶμεν**, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν (fellowship) ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει (cleanses) ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

11. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι **ἐγνώκαμεν** αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. (ΙΩΑΝΝΟΥ Α 2:3)

12. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ **πατρὸς** ἐν αὐτῷ.

13. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία (message) ἣν **ἠκούσατε** ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξεν (murdered) τὸν ἀδελφὸν αὐτοῦ. (ΙΩΑΝΝΟΥ Α 3:11-12)

14. Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ. Καὶ ἐν τούτῳ **γινώσκομεν** ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, ὅτι ἐὰν καταγινώσκῃ (might condemn) ἡμῶν ἡ καρδία, ὅτι μείζων (greater; from μέγας) ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα.

15. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν (we might believe) τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ **ἀγαπῶμεν** ἀλλήλους, καθὼς ἔδωκεν ἐντολήν. (ΙΩΑΝΝΟΥ Α 3:23)

16. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστιν (has been perfected) ἐν ἡμῖν. Ἐν τούτῳ **γινώσκομεν** ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

17. Ἐν τούτῳ γινώσκομεν ὅτι **ἀγαπῶμεν** τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· (ΙΩΑΝΝΟΥ Α 5:2-3)

18. Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα **περιπατῶμεν** κατὰ τὰς ἐντολὰς αὐτοῦ. Αὕτη ἐστιν ἡ ἐντολή, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.

19. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω (let … come) ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ **ᾖ** ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω (let … return). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:13)

20. καὶ ἐκείνοις εἶπεν, Ὑπάγετε (Depart) καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα (vineyard), καὶ ὃ ἐὰν ᾖ δίκαιον **δώσω** ὑμῖν. Οἱ δὲ ἀπῆλθον.

21. Οὐχ οὕτως δέ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν **θέλῃ** ἐν ὑμῖν μέγας γενέσθαι (to become) ἔσται ὑμῶν διάκονος (servant)· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 20:26)

22. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται (he summons) οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίησεν δώδεκα … ἵνα **ὦσιν** μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν (to preach)…

23. …**εἶπεν** ὁ βασιλεὺς τῷ κορασίῳ (young woman), Αἴτησόν (Ask) με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί· (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:22)

24. καὶ ὃς ἐὰν **θέλῃ** ὑμῶν γενέσθαι (to be) πρῶτος, ἔσται πάντων δοῦλος.

25. καὶ λέγουσιν αὐτῷ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην **ἔδωκεν** ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς (answered *and*) εἶπεν αὐτοῖς, Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; (ΚΑΤΑ ΜΑΡΚΟΝ 11:28-30)

26. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν **θέλω** δίδωμι αὐτήν.

27. Καὶ καθὼς θέλετε ἵνα **ποιῶσιν** ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε (do) αὐτοῖς ὁμοίως (likewise). (ΚΑΤΑ ΛΟΥΚΑΝ 6:31)

28. Βλέπετε (pay attention to) οὖν πῶς ἀκούετε· ὃς γὰρ ἐὰν ἔχῃ, **δοθήσεται** αὐτῷ· καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν (to have) ἀρθήσεται ἀπ' αὐτοῦ.

29. Ἐγένετο δὲ πορευομένων αὐτῶν (while they were going) ἐν τῇ ὁδῷ, εἶπέν τις πρὸς αὐτόν, Ἀκολουθήσω σοι ὅπου (where) ⌜ἂν⌝ **ἀπέρχῃ**, κύριε. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:57)

30. Καὶ εἰς ἣν ἂν πόλιν **εἰσέρχησθε**, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε (eat) τὰ παρατιθέμενα (the things set before) ὑμῖν…

31. Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, Διὰ τί λύετε; Οὕτως ἐρεῖτε αὐτῷ ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. Ἀπελθόντες (after departing) δὲ οἱ ἀπεσταλμένοι (those who had been sent) εὗρον καθὼς εἶπεν αὐτοῖς. (ΚΑΤΑ ΛΟΥΚΑΝ 19:31-32)

32. Ἐπηρώτησαν δὲ αὐτόν, … Διδάσκαλε, πότε (how) οὖν ταῦτα ἔσται; Καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα γίνεσθαι (to be);

33. κἀγὼ διατίθεμαι (give the right to rule) ὑμῖν, καθὼς διέθετό (gave) μοι ὁ πατήρ μου, βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης (table) ⌜μου⌝… (ΚΑΤΑ ΛΟΥΚΑΝ 22:29-30)

34. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜αὐτὸν⌝ νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν (to do) ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.

35. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος λαμβάνειν (to receive) οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον (given) αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:27-28)

36. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν (to do) ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα (doing)· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως (likewise) ποιεῖ.

37. Ὁ γὰρ πατὴρ φιλεῖ (loves) τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα (greater) τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:20)

38. καὶ οὐ θέλετε ἐλθεῖν (to come) πρός με, ἵνα ζωὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ (were to come) ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

39. Εἶπον οὖν πρὸς αὐτόν, Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε (that you might believe) εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:28-29)

40. …καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός (of Him who sent) με.

41. …μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς, Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. Λέγουσιν αὐτῷ οἱ μαθηταί, Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι (to stone) οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:7-8)

42. Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει (he stumbles), ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

43. Ὑπόδειγμα (example) γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:15)

44. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.

45. Ἐντολὴν καινὴν (new) δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος, Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι (to follow)… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:34-36)

46. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον (helper) δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν (to receive), ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται.

47. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:23)

48. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

49. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἄρτι (Now) πιστεύετε; Ἰδού, ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε (might be scattered) ἕκαστος εἰς τὰ ἴδια… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 16:30-32)

50. καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

22.5 VOCABULARY

Verbs

1. **βούλομαι** — I plan, wish, desire — 2 Peter 3:9
   μὴ **βουλόμενός** τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.
   not **wanting** anyone to perish but all to make room for repentance

2. **διακονέω** — I serve — Matt 20:28
   ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν **διακονηθῆναι**, ἀλλὰ **διακονῆσαι**
   the son of man did not come **to be served** but **to serve**

3. **ἐκπορεύομαι** — I depart, leave — John 15:26
   τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς **ἐκπορεύεται**
   the Spirit of truth which **went out from** the Father

4. **ἐπιστρέφω** — I return, turn — Acts 3:19
   Μετανοήσατε οὖν καὶ **ἐπιστρέψατε**, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας
   Therefore, repent and **turn** so that your sins might be wiped away

5. **μετανοέω** — I repent — Rev 2:5
   μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον·
   Repent and do the first things.

6. **ὀφείλω** — I owe, ought — John 13:14
   ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.
   you ought to wash the feet of one another.

7. **πειράζω** — I test, tempt — 1 Thes 3:5
   μήπως **ἐπείρασεν** ὑμᾶς ὁ **πειράζων**
   lest the **tempter tempts** you

Nouns

8. **ἡ μαρτυρία**, ας — testimony — 1 John 5:9
   αὕτη ἐστὶν ἡ **μαρτυρία** τοῦ θεοῦ
   this is the **testimony** of God

9. **ὁ μάρτυς**, μάρτυρος — witness — Rom 1:9
   Μάρτυς γάρ μού ἐστιν ὁ θεός
   For God is my **witness**

10. **ἡ ὀργή**, ῆς — anger, wrath — John 3:36
    ἡ **ὀργὴ** τοῦ θεοῦ μένει ἐπ' αὐτόν.
    the **wrath** of God remains on him.

11. **ἡ περιτομή**, ῆς — circumcision — 1 Cor 7:19
    Ἡ **περιτομὴ** οὐδέν ἐστιν, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν
    Circumcision is nothing and uncircumcision is nothing

12. **ἡ προσευχή**, ῆς — prayer — Matt 21:13
    Ὁ οἶκός μου οἶκος **προσευχῆς** κληθήσεται·
    My house will be called a house of **prayer**.

Preposition

13. **ὀπίσω** with the genitive — opposite, after — Matt 3:11
    ὁ δὲ **ὀπίσω** μου ἐρχόμενος ἰσχυρότερός
    but he who comes **after** me is more powerful

Adverb

14. **εὐθέως** — immediately — Matt 4:20
    Οἱ δὲ **εὐθέως** ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ.
    And **immediately** they left their nets and followed him.

Interjection

11. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ **πιστεύων** τῷ πέμψαντί (Him who sent) με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν (has passed) ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:24)

12. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής (true) ἐστιν ἡ μαρτυρία **ἣν** μαρτυρεῖ περὶ ἐμοῦ. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

13. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς **δέδωκεν** ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν (true). Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:32-33)

14. Πᾶν ὃ δίδωσίν μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει (will come)· καὶ τὸν **ἐρχόμενον** πρός με οὐ μὴ ἐκβάλω ἔξω. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός (Him who sent) με. Τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός (of the … who sent) με πατρός, ἵνα πᾶν ὃ δέδωκέν μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω ⌜ αὐτὸ ⌝⌜ τῇ ⌝ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός (of Him who sent) με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ.

15. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ **ἀποθάνῃ**. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς (that has descended)· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:50-51)

16. Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ **ἀκολουθῶν** ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ (darkness), ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής (true).

17. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς **ἁμαρτίας**. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:34-35)

18. Εἰ δὲ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; Ὁ **ὢν** ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης (a Samaritan) εἶ σύ, καὶ δαιμόνιον ἔχεις;

19. Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν, καὶ οὐκ **ἐγνώκατε** αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν, καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν, ψεύστης (a liar)· ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:54-55)

20. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ **βλέποντες** βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

21. Ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεόν, δώσει σοι ὁ θεός. Λέγει αὐτῇ ὁ Ἰησοῦς, **Ἀναστήσεται** ὁ ἀδελφός σου. Λέγει αὐτῷ Μάρθα (Martha), Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν (and if) ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ, Ναί (Yes), κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:22-27)

22. Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ (than) τὴν δόξαν τοῦ θεοῦ. Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν, Ὁ **πιστεύων** εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά (Him who sent) με· καὶ ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά (Him who sent) με.

23. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν ὑμῖν. Ὁ **ἔχων** τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτόν… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:19-21)

24. Οὐ γὰρ ἐπαισχύνομαι (I am … ashamed of) τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ **πιστεύοντι**, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι (to Greek).

25. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Μωϋσῆς γὰρ γράφει τὴν **δικαιοσύνην** τὴν ἐκ τοῦ νόμου… (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 10:4-5)

26. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ **λέγων**, Ἔγνωκα αὐτόν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης (liar) ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·

27. Ἐὰν **εἰδῆτε** ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται. (ΙΩΑΝΝΟΥ Α 2:29)

28. Καὶ πᾶς ὁ ἔχων τὴν **ἐλπίδα** ταύτην ἐπ' αὐτῷ ἁγνίζει (sanctifies) ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός (holy) ἐστιν.

29. Πᾶς ὁ ἐν αὐτῷ **μένων** οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν, οὐδὲ ἔγνωκεν αὐτόν. (ΙΩΑΝΝΟΥ Α 3:6)

30. ὁ **ποιῶν** τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

31. Ἐν τούτῳ φανερά (evident) ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· (ΙΩΑΝΝΟΥ Α 3:10-11)

32. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

33. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν θεόν, ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης (deception). Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν θεόν. (ΙΩΑΝΝΟΥ Α 4:5-7)

34. Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν· ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ (only begotten) ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν (propitiation) περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

35. Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης (a liar) ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾷν (to love); Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. (ΙΩΑΝΝΟΥ Α 4:19-21)

36. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα (him who is born) ἀγαπᾷ καὶ τὸν γεγεννημένον (the one having been born) ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

37. Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ· ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην (a liar) πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα εἰδῆτε ὅτι ζωὴν αἰώνιον ἔχετε καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ ὑιοῦ τοῦ θεοῦ. (ΙΩΑΝΝΟΥ Α 5:10-13)

38. Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων ἐστίν· ⌜ οἱ ⌝ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ καὶ τὴν πίστιν Ἰησοῦ.

39. …ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ (Say) ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:3)

40. Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

41. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν (reward) ἔχετε; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:46)

42. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι (to the one who knocks) ἀνοιγήσεται.

43. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, κύριε, οὐ τῷ σῷ (your) ὀνόματι προεφητεύσαμεν (did we prophesy), καὶ τῷ σῷ (your) ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ (your) ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 7:21-22)

44. Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας (Andrew) ὁ ἀδελφὸς αὐτοῦ·

45. οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:20-21)

46. Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά (Him who sent) με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν (reward) προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν (reward) δικαίου λήψεται.

47. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει (scatters). Διὰ τοῦτο λέγω ὑμῖν, Πᾶσα ἁμαρτία καὶ βλασφημία (blasphemy) ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφημία (blasphemy) οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 12:30-31)

48. …εἶπεν αὐτοῖς, Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός (field) ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας·

49. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ (about) πεντακισχίλιοι (5,000), χωρὶς γυναικῶν καὶ παιδίων. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 14:21)

50. …δὲ Σίμων Πέτρος εἶπεν, Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

51. Οἱ δὲ ὄχλοι οἱ προάγοντες (that was going before) καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες (saying), Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:9)

52. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν (to enter).

53. Ἐγείρεσθε (Arise), ἄγωμεν. Ἰδού, ἤγγικεν ὁ παραδιδούς με. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:46)

54. …εἶπεν αὐτοῖς ὁ Πιλάτος, Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν (Barabbas), ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;

55. Ὁ σπείρων τὸν λόγον σπείρει. Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ Σατανᾶς (Satan) καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον (which was sown) ἐν ταῖς καρδίαις αὐτῶν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 4:14-15)

24.5 VOCABULARY

Verbs

1. **ἀγοράζω** — I buy — 1 Cor 6:20
   ἠγοράσθητε γὰρ τιμῆς·
   for **you were bought** with a price

2. **καυχάομαι** — I boast — 1 Cor 1:31
   Ὁ **καυχώμενος**, ἐν κυρίῳ **καυχάσθω**.
   He who boasts, **let him boast** in the Lord

3. **συνέρχομαι** (συν + ερχ* and ελθ*) — I go with, come together
   a. πρὶν ἢ **συνελθεῖν** αὐτούς — Matt 1:18
      before they **came together**
   b. ὅπου πάντοτε οἱ Ἰουδαῖοι **συνέρχονται** — John 18:20
      where the Jews always **gather together**

4. **φυλάσσω** — I guard, keep — 2 Tim 1:12
   δυνατός ἐστιν τὴν παραθήκην μου **φυλάξαι** εἰς ἐκείνην τὴν ἡμέραν.
   He is able **to keep** what I have entrusted for that day.

Nouns

5. **ὁ ἄνεμος**, ου — wind — Matt 7:25
   ἔπνευσαν οἱ **ἄνεμοι**, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν·
   the **winds** blow and beat against that house and it does not fall.

6. **τὸ ἀρνίον**, ου — lamb, sheep — Rev 17:14
   μετὰ τοῦ **ἀρνίου** πολεμήσουσιν, καὶ τὸ **ἀρνίον** νικήσει αὐτούς
   with the **lamb** they will make war and the **lamb** will overcome them

7. **ἡ διδαχή**, ῆς — teaching — 2 Tim 4:2
   ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ **διδαχῇ**.
   rebuke, encourage with all patience and **teaching**.

8. **ὁ ἥλιος**, ου — sun — Rev 21:23
   Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ **ἡλίου**
   And the city does not have need of the **sun**

9. **ὁ οἶνος**, ου — wine — John 2:9
   τὸ ὕδωρ **οἶνον** γεγενημένον
   the water made **wine**

10. **τὸ ποτήριον**, ου — cup — 1 Cor 11:25
    Τοῦτο τὸ **ποτήριον** ἡ καινὴ διαθήκη ἐστὶν
    This **cup** is the New Covenant

11. **ἡ ὑπομονή**, ῆς — endurance, perseverance — Rom 5:3-4
    ἡ θλῖψις **ὑπομονὴν** κατεργάζεται, ἡ δὲ **ὑπομονὴ** δοκιμήν
    tribulation produces **perseverance** and **perseverance**, character

Adjectives

12. **ἀκάθαρτος, ον** — unclean, impure — 2 Cor 6:17
    ἀκαθάρτου μὴ ἅπτεσθε·
    do not touch what is **unclean**

13. **ποῖος, α, ον** — what, which — Matt 21:23
    Ἐν **ποίᾳ** ἐξουσίᾳ ταῦτα ποιεῖς;
    With **what** authority do you do these things?

Conjunction

14. **μήτε** — and not, neither — Matt 11:18
    Ἦλθεν γὰρ Ἰωάννης **μήτε** ἐσθίων **μήτε** πίνων
    For John came **neither** eating **nor** drinking

Particle

15. **γε** — indeed — Acts 8:30
    Ἆρά **γε** γινώσκεις ἃ ἀναγινώσκεις;
    Then, **indeed**, do you know what things you are reading?

25 AORIST PARTICIPLES

25.1 GRAMMAR

25.1.1 Introduction

Review sections 24.1.1 through 24.1.9 because the information presented applies to aorist participles as well.

25.1.2 Overview of Aorist Active and Middle/Passive Participle Parts

λύσας

λυ	σα	ς
Aorist Tense Stem	**Aorist Tense Marker**	**Active, nominative, masculine, singular ending**

Root: λυ*

25.1.3 Augment

Aorist participles will not have an augment because the augment only occurs on aorist and imperfect tenses of the indicative mood.

25.1.4 Tense Marker

First aorist verbs normally use sigma-alpha (σα) as the aorist active and middle tense marker. Recall that, when this tense marker interacts with certain consonants, small spelling changes result. Review 15.1.7 or 19.1.8 for the changes.

Liquid verbs (verbs whose stem end in lambda (λ), mu (μ), nu (ν), or rho (ρ)) use alpha (α) as the tense marker.

Second aorist verbs do not use a tense marker. Instead, the aorist tense is identifiable by the aorist stem that differs significantly from the present stem.

For both first and second aorist verbs, the passive marker for participles is theta-epsilon (θε).

25.1.5 Aorist Active, Middle, and Passive Participle Endings

	Case	First Aorist			Second Aorist		
		Masculine	**Feminine**	**Neuter**	**Masculine**	**Feminine**	**Neuter**
Active Voice							
Singular	**Nominative**	σας	σασα	σαν	ων	ουσα	ον
	Genitive	σαντος	-	-	οντος	ουσης	οντος
	Dative	σαντι	-	-	οντι	ουσῃ	-
	Accusative	σαντα	σασαν	σαν	οντα	ουσαν	ον
Plural	**Nominative**	σαντες	σασαι	-	οντες	ουσαι	οντα
	Genitive	σαντων	-	-	οντων	-	-
	Dative	σασι(ν)	-	-	ουσι(ν)	ουσαις	-
	Accusative	σαντας	-	σαντα	οντας	ουσας	-
Middle Voice							
Singular	**Nominative**	σαμενος	σαμενη	σαμενον	ομενος	-	-
	Genitive	σαμενου	σαμενης	-	ομενου	ομενης	ομενου
	Dative	-	-	-	-	-	-
	Accusative	σαμενον	-	-	ομενον	ομενην	ομενον
Plural	**Nominative**	σαμενοι	-	-	ομενοι	ομεναι	-
	Genitive	σαμενων	-	-	ομενων	ομενων	ομενων
	Dative	σαμενοις	-	-	ομενοις	-	ομενοις
	Accusative	σαμενους	-	-	ομενους	-	ομενα
Passive Voice							
Singular	**Nominative**	θεις	θεισα	θεν	Same as on left.		
	Genitive	θεντος	θεισης	θεντος			
	Dative	θεντι	θεισῃ	-			
	Accusative	θεντα	θεισαν	θεν			
Plural	**Nominative**	θεντες	θεισαι	θεντα			
	Genitive	θεντων	θεισων	θεντων			
	Dative	-	-	θεισιν			
	Accusative	θεντας	-	θεντα			

25.1.6 Aorist Tense Stem

The above endings are attached to the various aorist tense stems. If necessary, review sections 18.1.8, 19.1.7, and 20.1.7.

25.1.7 Review of Adjectival and Adverbial Uses of the Participle

To review, a participle will function as an adjective or adverb. The presence of the article is the most important contextual clue for determining which use is in view. If the article accompanies the participle, the participle's use will always be adjectival. If the article is absent, the participle is sometimes adjectival but often it is adverbial. The context must be examined to decide between the two.

Seeing various examples is the best way to understand the different uses. The previous chapter presented examples of the participle's adjectival use. This chapter will review those uses with examples in the aorist tense. It will also present the adverbial proper use of the participle. Chapter 26 will present two more adverbial uses of the participle.

25.1.8 Adjectival Uses of the Participle (Aorist Tense Examples)

Consider the following examples of the substantival and attributive use of the aorist participle. The predicate use is not included because it is not as common with the aorist tense.

Substantival Use (Aorist Tense Examples)
With this use, the participle functions as a noun.

Example 1: **ὁ εὑρὼν** τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν...
He who finds his life will lose it…

The aorist participle **εὑρών** is adjectival because it has the matching article (**ὁ**). The participle's use is substantival because it does not modify any noun in the sentence. The participle is in the nominative case because it is the subject of the verb **ἀπολέσει**. Observe that in this context the aorist participle is best translated with the present tense verb "finds."

Example 2: καὶ μακαρία **ἡ πιστεύσασα** ὅτι...
And **she who believed** is blessed because…

The aorist participle **πιστεύσασα** is adjectival because it has the matching article (**ἡ**). The participle's use is substantival because it does not modify any noun in the sentence. The participle is in the nominative case because it is the subject of the implied verb **ἐστίν**.

Example 3: ...καὶ ὑπάγω πρός **τὸν πέμψαντά** με.
…and I depart to **Him who sent** me.

The aorist participle **πέμψαντα** is adjectival because it has the matching article (**τόν**). The participle's use is substantival because it does not modify any noun in the sentence. The participle is in the accusative case because it is the object of the preposition **πρός**.

Attributive Use (Aorist Tense Examples)
With this use, the participle modifies a noun.

Example 4: ...ὁ φαρισαῖος **ὁ καλέσας** αὐτὸν εἶπεν ἐν ἑαυτῷ...
...the Pharisee who invited Him said in himself…

The aorist participle **καλέσας** is adjectival because it has the matching article (**ὁ**). The participle's use is attributive because it modifies the noun **φαρισαῖος** as clear from the article-noun-article-participle construction and because **καλέσας** agrees with **φαρισαῖος** (its subject) in case (nominative), gender (masculine), and number (singular). The noun **φαρισαῖος** is in the nominative case because it is the subject of the verb **εἶπεν**.

Example 5: …καὶ ἐδόξασαν τὸν θεὸν **τὸν δόντα** ἐξουσίαν τοιαύτην...

…and they glorified the God **who gave** such authority…

The aorist participle **δόντα** is adjectival because it has the matching article (**τόν**). The participle's use is attributive because it modifies the noun **θεόν** as clear from the article-noun-article-participle construction and because **δόντα** agrees with **θεόν** (its subject) in case (accusative), gender (masculine), and number (singular). The noun **θεόν** is in the accusative case because it is the direct object of the verb **ἐδόξασαν**.

25.1.9 Adverbial Uses of the Participle (Present and Aorist Tense Examples)

A participle that does not have an article is sometimes adjectival but often is adverbial. The particular context must be examined carefully to decide. The most common adverbial uses can be divided into the following subcategories: adverbial proper, periphrastic, and genitive absolute. The adverbial proper uses are presented in this chapter. The periphrastic and genitive absolute uses are presented in chapter 26.

Adverbial Proper Use (Present and Aorist Tense Examples)

With this use, the participle (without the article) modifies a verb in the sentence. In other words, the participle provides additional information about the verbal action in terms of "when," "how," "why," etc. With practice, you should learn to specify the adverbial participle's logical relationship to the verb as temporal, manner, means, cause, condition, concession, purpose, or result. For now, it is sufficient to focus on:

1. Recognizing that a word is a participle.
2. Determining if the participle is adjectival or adverbial.
3. Determining the participle's use. If adjectival, is it substantival, attributive, or predicate? If adverbial, is it adverbial proper, periphrastic, or genitive absolute?
4. Producing a basic translation based on that understanding.

Various factors affect how to translate adverbial participles. Some of those factors pertain to Greek and others to English. For now, the best approach is to give a good starting point for translation and allow you to discovery when alternatives may be necessary. That starting point is:

- Translate present participles with a gerund ("walking," "living," etc.).
- Translate aorist participles with the preposition "after" (sometimes "while") and a gerund ("after walking," "after living," etc.).
- Translate perfect participles with a past participle ("walked," "lived," etc.).

The following examples show the above guidelines at work but also deviate from them when appropriate.

Participles in the Present Tense

Example 6: …ἥψατο αὐτοῦ **λέγων**, Θέλω, καθαρίσθητι·
He touched him **saying**, "I am willing. Be cleansed."

Example 7: Ὁ δὲ Πέτρος … ἀπῆλθεν πρὸς ἑαυτὸν **θαυμάζων** τὸ γεγονός.
But Peter left **marveling** to himself about what had happened.

Example 8: ἦλθεν γὰρ Ἰωάννης μήτε **ἐσθίων** μήτε **πίνων**…
For John came neither **eating** nor **drinking**…

Example 9: **…**ὁ πρῶτος ἔλαβεν γυναῖκα, καὶ **ἀποθνήσκων** οὐκ ἀφῆκεν σπέρμα·
The first took a wife and, **because he died**, he did not leave a descendent.

Example 10: ὀφθαλμοὺς **ἔχοντες** οὐ βλέπετε καὶ ὦτα **ἔχοντες** οὐκ ἀκούετε;
Although having eyes, do you not see and **although having** ears, do you not hear?

Participles in the Aorist Tense

Example 11: καὶ **ἐλθόντες** εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας...
And **after coming** into the house, they saw the child with Mary…

Example 12: **Ἀκούσας** δὲ ὁ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον...
But **after hearing** Jesus said (=Jesus **heard** and said), "This sickness is not to death…"

Example 13: **Βαπτισθεὶς** δὲ ὁ Ἰησοῦς εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδταος·
And, **after being baptized**, Jesus immediately came up from the water.

In the previous examples, the bolded participles are adverbial proper because they do not have the article and they modify a verb in the sentence. Furthermore, they do not function as a noun (substantival use), do not modify a noun in the sentence (attributive use), and do not complete a thought about a noun (predicate use).

Additionally, the above participles are all in the nominative case. Adverbial participles are frequently in the nominative case because they usually modify the main verb of the sentence and, therefore, have the same subject which is in the nominative case.

25.2 OMEGA VERBS: FIRST AORIST PARTICIPLES (ALL VOICES)

Memorization of the masculine forms is required, especially the nominative case.

25.2.1 Aorist Active Participle Forms of λύω

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	λύ**σας**	λύ**σασα**	λυ**σάν**
Genitive	λύ**σαντος**	-	-
Dative	λύ**σαντι**	-	-
Accusative	λύ**σαντα**	λύ**σασαν**	λυ**σάν**
Plural			
Nominative	λύ**σαντες**	λύ**σασαι**	-
Genitive	λυ**σάντων**	-	-
Dative	λύ**σασι(ν)**	-	-
Accusative	λύ**σαντας**	-	λύ**σαντα**

25.2.2 Aorist Middle Participle Forms of λύω

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	λυ**σάμενος**	λυ**σαμένη**	λυ**σάμενον**
Genitive	λυ**σαμένου**	λυ**σαμένης**	-
Dative	-	-	-
Accusative	λυ**σάμενον**	-	-
Plural			
Nominative	λυ**σάμενοι**	-	-
Genitive	λυ**σαμένων**	-	-
Dative	λυ**σαμένοις**	-	-
Accusative	λυ**σαμένους**	-	-

25.2.3 Aorist Passive Participle Forms of λύω

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	λυ**θείς**	λυ**θεῖσα**	λυ**θέν**
Genitive	λυ**θέντος**	λυ**θείσης**	λυ**θέντος**
Dative	λυ**θέντι**	λυ**θείσῃ**	-
Accusative	λυ**θέντα**	λυ**θεῖσαν**	λυ**θέν**
Plural			
Nominative	λυ**θέντες**	λυ**θεῖσαι**	λυ**θέντα**
Genitive	λυ**θέντων**	λυ**θεισῶν**	λυ**θέντων**
Dative	-	-	λυ**θεῖσιν**
Accusative	λυ**θέντας**	-	λυ**θέντα**

25.3 OMEGA VERBS: SECOND AORIST ACTIVE AND MIDDLE PARTICIPLES

The key to distinguishing between a present and second aorist participle is recognizing the aorist stem. Memorization of these forms is not required. Passive forms of second aorist verbs are not provided because they are rare in the New Testament.

25.3.1 Aorist Active Participle Forms of ἔρχομαι

Although ἔρχομαι is deponent in other tenses, it is not deponent in the aorist tense. The theta (θ) should not be confused with the aorist tense marker. It is part of the stem (ἐλθ-).

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	ἐλθ**ών**	ἐλθ**οῦσα**	ἐλθ**όν**
Genitive	ἐλθ**όντος**	ἐλθ**ούσης**	ἐλθ**όντος**
Dative	ἐλθ**όντι**	ἐλθ**ούσῃ**	-
Accusative	ἐλθ**όντα**	ἐλθ**ούσαν**	ἐλθ**όντα**
Plural			
Nominative	ἐλθ**όντες**	ἐλθ**οῦσαι**	ἐλθ**όντα**
Genitive	ἐλθ**όντων**	-	-
Dative	ἐλθ**οῦσι(ν)**	ἐλθ**οῦσαις**	-
Accusative	ἐλθ**όντας**	ἐλθ**ουσας**	-

25.3.2 Aorist Middle Participle Forms of γίνομαι

The verb γίνομαι is deponent in the aorist tense. This verb is the most common second aorist for these forms.

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	γεν**όμενος**	-	-
Genitive	γεν**ομένου**	γεν**ομένης**	γεν**ομένου**
Dative	-	-	-
Accusative	γεν**όμενον**	γεν**ομένην**	γεν**όμενον**
Plural			
Nominative	γεν**όμενοι**	γεν**όμεναι**	-
Genitive	γεν**ομένων**	γεν**ομένων**	γεν**ομένων**
Dative	γεν**ομένοις**	-	γεν**ομένοις**
Accusative	γεν**ομένους**	-	γεν**όμενα**

25.4 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**. For participles, parsing means to write the tense, voice, "participle," case, gender, number, and dictionary form.

In addition, if the bolded word is a participle:

1. Indicate if its use is adjectival or adverbial. If adjectival, write the appropriate subcategory (substantival, attributive, or predicate).

2. Indicate why the participle has the case that it has. Is the participle in the case that it is because it is serving a specific function in the sentence such as subject or direct object? (If so, which function?) Or, is the participle in the case it is because it is modifying another word and agrees with that word in case? (If so, which word?)

1. ἀλλ' ὁ **πέμψας** με βαπτίζειν (to baptize) ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν, Ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν πνεύματι ἁγίῳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:33)

2. Ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς ἐκ τῶν δύο τῶν **ἀκουσάντων** παρὰ Ἰωάννου καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ, Εὑρήκαμεν τὸν Μεσίαν (Messiah) - ὅ ἐστιν μεθερμηνευόμενον (translated), Χριστός.

3. Ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν· καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. Εἰ τὰ ἐπίγεια (earthly things) εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς, ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια (heavenly), πιστεύσετε; Καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ **καταβάς**, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:11-13)

4. Ὁ **λαβὼν** αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν (acknowledged) ὅτι ὁ θεὸς ἀληθής (true) ἐστιν. Ὃν γὰρ ἀπέστειλεν ὁ θεός, τὰ ῥήματα τοῦ θεοῦ λαλεῖ·

5. Ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, **ἐλθὼν** ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν. Μετὰ ταῦτα ἦν ⌜ ἡ ⌝ ἑορτὴ (feast) τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:53-5:1)

6. Ἀπεκρίθη αὐτοῖς, Ὁ ποιήσας με ὑγιῆ (whole), ἐκεῖνός μοι εἶπεν…

7. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν (has passed) ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως **ἔδωκεν** καὶ τῷ υἱῷ ζωὴν ἔχειν (to have) ἐν ἑαυτῷ· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:24-26)

8. Καὶ ὁ πέμψας με πατήρ, αὐτὸς μεμαρτύρηκεν περὶ ἐμοῦ. Οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε (ever), οὔτε εἶδος (form) αὐτοῦ ἑωράκατε. Καὶ τὸν λόγον αὐτοῦ οὐκ ἔχετε **μένοντα** ἐν ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς οὐ πιστεύετε.

9. Ἐγόγγυζον (were complaining) οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, Ἐγώ εἰμι ὁ ἄρτος ὁ **καταβὰς** ἐκ τοῦ οὐρανοῦ. Καὶ ἔλεγον, Οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; Πῶς οὖν λέγει οὗτος ὅτι Ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; Ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:41-43)

10. Πᾶς οὖν ὁ ἀκούων παρὰ τοῦ πατρὸς καὶ μαθών (learns), ἔρχεται πρός με. Οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ **ὢν** παρὰ τοῦ θεοῦ, οὗτος ἑώρακεν τὸν πατέρα. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

11. Πολλοὶ οὖν **ἀκούσαντες** ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον, Σκληρός (difficult) ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν (to hear); (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:60)

12. Ἀπεκρίθη οὖν αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με. Ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν (to do), **γνώσεται** περὶ τῆς διδαχῆς, πότερον (whether) ἐκ τοῦ θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Ὁ ἀφ' ἑαυτοῦ λαλῶν, τὴν δόξαν τὴν ἰδίαν ζητεῖ·

13. Εἶπεν οὖν ὁ Ἰησοῦς, Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν (to come). Εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς, Ποῦ οὗτος μέλλει πορεύεσθαι (to go) ὅτι ἡμεῖς οὐχ **εὑρήσομεν** αὐτόν; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 7:33-35)

14. Λέγει Νικόδημος πρὸς αὐτούς - ὁ **ἐλθὼν** νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν - Μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον (first) καὶ γνῷ τί ποιεῖ; Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ;

15. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; Καὶ ἐξέβαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ, Σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; Ἀπεκρίθη ἐκεῖνος καὶ εἶπεν, Καὶ τίς ἐστιν, κύριε, ἵνα **πιστεύσω** εἰς αὐτόν; Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς, Καὶ ἑώρακας αὐτόν, καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. Ὁ δὲ ἔφη, Πιστεύω, κύριε· καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:34-41)

16. Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, Αὕτη ἡ ἀσθένεια (illness) οὐκ ἔστιν πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ θεοῦ, ἵνα **δοξασθῇ** ὁ υἱὸς τοῦ θεοῦ δι' αὐτῆς. Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν ἀδελφὴν (sister) αὐτῆς καὶ τὸν Λάζαρον.

17. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν (and if) ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ **ζῶν** καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ, Ναί (Yes), κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. Καὶ ταῦτα εἰποῦσα ἀπῆλθεν, καὶ ἐφώνησεν (called) Μαρίαν … εἰποῦσα, Ὁ διδάσκαλος πάρεστιν καὶ φωνεῖ (is calling) σε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:25-28)

18. Ἡ οὖν Μαρία, ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, **ἰδοῦσα** αὐτόν, ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐτῷ, Κύριε, εἰ ἦς ὧδε, οὐκ ἄν ἀπέθανέν μου ὁ ἀδελφός.

19. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, Ἴδε πῶς ἐφίλει (He loved) αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν εἶπον, Οὐκ ἠδύνατο οὗτος, ὁ **ἀνοίξας** τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι (to make) ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:36-37)

20. Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ **ἐλθόντες** πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι (had seen) ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. Τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς. Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον (the council), καὶ ἔλεγον, Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ.

21. ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ **ἐλάλησα**· ἀλλ' ὁ πέμψας με πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκεν, τί εἴπω καὶ τί λαλήσω. Καὶ οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν· ἃ οὖν λαλῶ ἐγώ, καθὼς εἴρηκέν μοι ὁ πατήρ, οὕτως λαλῶ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 12:48-50)

22. Καὶ ἀπεκρίθη Θωμᾶς, καὶ εἶπεν αὐτῷ, Ὁ κύριός μου καὶ ὁ θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὅτι **ἑώρακάς** με, πεπίστευκας; Μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες.

23. Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον **ἐπίστευσαν**· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 4:4)

24. Οἱ δὲ **ἀκούσαντες** ἐδόξαζον τὸν κύριον·

25. **Δικαιωθέντες** οὖν ἐκ πίστεως, εἰρήνην ⌜ἔχομεν⌝ πρὸς τὸν θεὸν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ καὶ τὴν προσαγωγὴν (access) ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ θεοῦ. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 5:1-2)

26. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, **σωθησόμεθα** δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς.

27. ὁ γὰρ **ἀποθανὼν** δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (we will live) αὐτῷ· (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:7-8)

28. Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον (evident)· ὅτι Ὁ δίκαιος ἐκ πίστεως ζήσεται· ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' Ὁ **ποιήσας** αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.

29. Οὕτως καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασεν γενηθῆναι (to be) ἀρχιερέα, ἀλλ' ὁ **λαλήσας** πρὸς αὐτόν, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 5:5)

30. Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι. Καὶ τὸ πνεῦμά ἐστιν τὸ **μαρτυροῦν**, ὅτι τὸ πνεῦμά ἐστιν ἡ ἀλήθεια.

31. Τέξεται (she will give birth to) δὲ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 1:21-22)

32. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες τοὺς θησαυροὺς (treasures) αὐτῶν προσήνεγκαν αὐτῷ…

33. Ἰδὼν δὲ τοὺς ὄχλους, ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ, ἐδίδασκεν αὐτούς, λέγων, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:1-3)

34. Ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν, καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.

35. Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ, Διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 8:19)

36. Καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν, καὶ ἐδόξασαν τὸν θεόν, τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

37. Ὁ δὲ ἀποκριθεὶς εἶπεν τῷ εἰπόντι αὐτῷ, Τίς ἐστιν ἡ μήτηρ μου; Καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν, Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 12:48-50)

38. Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἀπὸ τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν. Καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί…

39. Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ, Διὰ τί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι Ὑμῖν δέδοται γνῶναι (to know) τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσιν, καὶ ἀκούοντες οὐκ ἀκούουσιν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 13:10-13)

40. Ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπεν, Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ, Μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέν (revealed) σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς.

41. Καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει. Καὶ ζητοῦντες αὐτὸν κρατῆσαι (to seize), ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ (because) ὡς προφήτην αὐτὸν εἶχον. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:45-46)

42. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς, λέγων, Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες μαθητεύσατε (make disciples of) πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος·

43. …λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ποῦ (Where) θέλεις ἀπελθόντες ⌜ἑτοιμάσωμεν⌝ ἵνα φάγῃς τὸ Πάσχα (the Passover); (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:12)

44. Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ εἶπεν, Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐτὴν ὅτι Οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ (family) σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.

45. καὶ … ἔγραψεν λέγων, Ἰωάννης ἐστὶν ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα (immediately) καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν θεόν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:63-64)

46. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες, Τί … τὸ παιδίον τοῦτο ἔσται; καὶ γὰρ χεὶρ κυρίου ἦν μετ’ αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη (was filled) πνεύματος ἁγίου…

47. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων (the shepherds) πρὸς αὐτούς. (ΚΑΤΑ ΛΟΥΚΑΝ 2:18)

48. Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι Εἴρηται, Οὐκ ἐκπειράσεις (you shall not test) κύριον τὸν θεόν σου.

49. Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ πνεύματος εἰς τὴν Γαλιλαίαν. καὶ φήμη (report) ἐξῆλθεν καθ’ ὅλης τῆς περιχώρου (surrounding region) περὶ αὐτοῦ. καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων. (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:14-15)

50. Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος·

51. πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς, ὑποδείξω (I will show) ὑμῖν τίνι ἐστὶν ὅμοιος· ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν… (ΚΑΤΑ ΛΟΥΚΑΝ 6:47)

52. Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου (foundation)·

53. Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα (healed). (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:10)

54. καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ. ἔλαβεν δὲ φόβος πάντας, καὶ ἐδόξαζον τὸν θεὸν λέγοντες ὅτι Προφήτης μέγας ἠγέρθη ἐν ἡμῖν, καὶ ὅτι Ἐπεσκέψατο (has visited) ὁ θεὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ καὶ πάσῃ τῇ περιχώρῳ (surrounding region).

55. …ὁ Ἰωάννης ἔπεμψεν πρὸς τὸν κύριον λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν (do we wait for); παραγενόμενοι δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπαν, Ἰωάννης ὁ βαπτιστὴς (the Baptist) ἀπέστειλεν ἡμᾶς πρὸς σὲ λέγων, Σὺ εἶ ὁ ἐρχόμενος ἢ ἄλλον προσδοκῶμεν (do we wait for); ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐθεράπευσεν πολλοὺς… (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:18-21)

56. Καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι (tax collectors) ἐδικαίωσαν τὸν θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου·

57. ἐλήλυθεν γὰρ Ἰωάννης ὁ βαπτιστὴς μὴ ἐσθίων ἄρτον μήτε πίνων οἶνον, καὶ λέγετε, Δαιμόνιον ἔχει· ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε, Ἰδοὺ ἄνθρωπος φάγος (glutten)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:33-34)

58. Ἔστιν δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος (seed) ἐστὶν ὁ λόγος τοῦ θεοῦ. Οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν οἱ ἀκούοντες, εἶτα (then) ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν.

59. ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς, Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ θεοῦ ἀκούοντες καὶ ποιοῦντες. (ΚΑΤΑ ΛΟΥΚΑΝ 8:21)

60. Καὶ ἰδού, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος (Jairus), καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν, καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν (to enter) εἰς τὸν οἶκον αὐτοῦ·

61. καὶ εἶπεν αὐτοῖς, Ὃς ἂν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου ἐμὲ δέχεται, καὶ ὃς ἂν ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με· ὁ γὰρ μικρότερος (least) ἐν πᾶσιν ὑμῖν ὑπάρχων οὗτός ἐστιν μέγας. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:48)

62. Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.

63. Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ, καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται (will be beat) πολλάς· (ΚΑΤΑ ΛΟΥΚΑΝ 12:47)

64. Ἰδοὺ τρία ἔτη ἀφ᾽ οὗ ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ (fig tree) ταύτῃ καὶ οὐχ εὑρίσκω.

65. ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου, καὶ ἐρῶ αὐτῷ, Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι (to be called) υἱός σου· (ΚΑΤΑ ΛΟΥΚΑΝ 15:18-19)

25.5 VOCABULARY

Verbs

1. **ἐλεέω** I have mercy Matt 9:27
   δύο τυφλοί, κράζοντες καὶ λέγοντες, **Ἐλέησον** ἡμᾶς, ⌜ υἱὲ ⌝ Δαυίδ.
   two blind, calling out and saying, "**Have mercy on** us, son of David.

2. **ἐλπίζω** I hope Luke 24:21
   ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ.
   We had hoped that he was the one about to liberate Israel.

3. **ἐπικαλέω** I call Rom 10:13
   Πᾶς γὰρ ὃς ἂν **ἐπικαλέσηται** τὸ ὄνομα κυρίου σωθήσεται.
   For whosoever **calls upon** the name of the Lord will be saved.

4. **ἐπιτιμάω** I rebuke, warn Matt 16:22
   ὁ Πέτρος ἤρξατο **ἐπιτιμᾷν** αὐτῷ
   Peter began **to rebuke** him

5. **καθαρίζω** I cleanse, purify 1 John 1:7
   τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ **καθαρίζει** ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.
   the blood of Jesus Christ His Son **cleanses** us from all sin.

6. **παραγγέλλω** I command 1 Cor 7:10
   παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ κύριος
   I command, not I, but the Lord

7. **παρέρχομαι** (παρα + ερχ* and ελθ*) I pass, pass by
   a. Ἰησοῦς ὁ Ναζωραῖος **παρέρχεται**. Luke 18:37
      Jesus the Nazarene **is passing by**.
   b. Ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύσονται**, οἱ δὲ λόγοι μου οὐ μὴ **παρέλθωσιν**. Matt 24:35
      Heaven and earth **will pass away** but my words **will** not **pass away**.

8. **σκανδαλίζω** I stumble Matt 18:6
   Ὃς δ' ἂν **σκανδαλίσῃ** ἕνα τῶν μικρῶν τούτων
   But whosoever **causes** one of these little ones **to stumble**

9. **φαίνω** I shine, appear
   a. τὸ φῶς ἐν τῇ σκοτίᾳ **φαίνει** John 1:5
      the light **shines** in the darkness
   b. ἠκρίβωσεν παρ' αὐτῶν τὸν χρόνον τοῦ **φαινομένου** ἀστέρος. Matt 2:7
      he found out from them the time of the star's **appearing**.

10. **φεύγω** I flee James 4:7
    Ὑποτάγητε οὖν τῷ θεῷ· ἀντίστητε ⌜ δὲ ⌝ τῷ διαβόλῳ, καὶ **φεύξεται** ἀφ' ὑμῶν.
    Therefore, submit to God and resist the devil, and **he will flee** from you.

Nouns

11. **ἡ παρρησία**, ας — boldness, courage — 2 Cor 7:4
    Πολλή μοι **παρρησία** πρὸς ὑμᾶς
    great *is* my **boldness** to you

12. **ἡ φυλή**, ῆς — tribe — Rev 5:5
    ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς **φυλῆς** Ἰούδα
    the lion who is from the **tribe** of Judah overcame

Adverb

13. **ὁμοίως** — likewise — Matt 26:35
    οὐ μή σε ⌜ ἀπαρνήσωμαι. ⌝ **Ὁμοίως** δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον.
    I will never deny you. And all the disciples also said **likewise**.

Particle

14. **πλήν** — nevertheless, only, but — Matt 26:39
    πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.
    nevertheless not as I want but as you.

15. **ναί** — yes — Matt 5:37
    Ἔστω δὲ ὁ λόγος ὑμῶν, **ναὶ ναί**
    But let your word be, **yes yes**

26 PERFECT PARTICIPLES

26.1 GRAMMAR

26.1.1 Introduction

Review sections 24.1.1 through 24.1.9 because the information presented applies to perfect participles as well.

26.1.2 Overview of Perfect Active Participle Parts

λελυκώς

λε	λυ	κ	ως
Reduplication	**Perfect Active Tense Stem**	**Perfect Active Tense Marker**	**Active, nominative, masculine, singular ending**

Root: λυ*

26.1.3 Reduplication

Perfect participles will have the reduplication. Review section 21.1.5.

26.1.4 Tense Marker

The perfect active tense marker for participles is kappa (κ). The perfect middle/passive does not use a tense marker.

26.1.5 Perfect Active and Middle/Passive Participle Endings

	Case	Masculine	Feminine	Neuter
Active Voice				
Singular	Nominative	κως	κυια	κος
	Genitive	κοτος	κυιης	-
	Dative	κοτι	-	κοτι
	Accusative	κοτα	κυιαν	κος
Plural	Nominative	κοτες	κυιαι	κοτα
	Genitive	κοτων	-	κοτων
	Dative	κοσι(ν)	-	-
	Accusative	κοτας	-	κοτα
Middle/Passive Voice				
Singular	Nominative	μενος	μενη	μενον
	Genitive	μενου	μενης	μενου
	Dative	μενῳ	μενῃ	μενῳ
	Accusative	μενον	μενην	μενον
Plural	Nom.	μενοι	μεναι	μενα
	Gen.	μενων	μενων	μενων
	Dat.	μενοις	μεναις	μενοις
	Acc.	μενους	μενας	μενα

26.1.6 Perfect Tense Stem

The above endings are attached to the perfect active and passive tense stems, respectively. Review sections 21.1.8 and 21.1.9 concerning those stems.

26.1.7 Review of Adjectival and Adverbial Uses of the Participle

To review, a participle will function as an adjective or adverb. The presence of the article is the most important contextual clue for determining which use is in view. If the article accompanies the participle, the participle's use will always be adjectival. If the article is absent, the participle is often adverbial but sometimes adjectival. The context must be examined to decide between the two.

Seeing various examples is the best way to understand the different uses. This chapter reviews the adjectival and adverbial uses presented in the previous two chapters with examples from the perfect tense. It will also present two new adverbial uses, the periphrastic and genitive absolute participle.

26.1.8 Adjectival Uses of the Participle (Perfect Tense Examples)

Substantival Use (Perfect Tense Examples)
With this use, the participle functions as a noun.

Example 1: **ὁ ἑωρακὼς** ἐμὲ ἑώρακεν τὸν πατέρα·
He who has seen me has seen the Father.

The perfect participle **ἑωρακὼς** is adjectival because it has the matching article (**ὁ**). The participle's use is substantival because it does not modify any noun in the sentence. The participle is in the nominative case because it is the subject of the verb **ἑώρακεν**.

Example 2: Πολλοί τε **τῶν πεπιστευκότων** ἤρχοντο ἐξομολογούμενοι...
And many **of the ones who had believed** were coming confessing…

The perfect participle **πεπιστευκότων** is adjectival because it has the matching article (**τῶν**). The participle's use is substantival because it does not modify any noun in the sentence. The participle is in the genitive case to relate it with **Πολλοί**. Those who had believed (**τῶν πεπιστευκότων**) specifies the identity of the many (**Πολλοί**).

This example is best translated using the English pluperfect tense ("had believed") instead of the perfect ("have believed").[1] It is a good example of the fact that different languages sometimes use tenses differently. The student must be flexible in translation when necessary.

Attributive Use (Perfect Tense Examples)
With this use, the participle modifies a noun.

Example 3: Περὶ δὲ τῶν **πεπιστευκότων** ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν...
But concerning the gentiles **who have believed**, we wrote...

The perfect participle **πεπιστευκότων** is adjectival because it has the matching article (**τῶν**). The participle's use is attributive because it modifies the noun **ἐθνῶν** as clear from the article-participle-noun construction and because **πεπιστευκότων** agrees with **ἐθνῶν** (its subject) in case (genitive), gender (neuter), and number (plural). The noun **ἐθνῶν** is in the genitive case because it is the object of the preposition **Περί**.

[1] The reason for this is that the participle's time is relative to the main verb which is imperfect tense. Since the perfect tense pictures action before the time of the main verb, this requires a pluperfect in English.

Example 4: …λάβε τὸ βιβλίον **τὸ ἠνεῳγένον** ἐν τῇ χειρὶ τοῦ ἀγγέλου...
…take the book **which has been opened** in the hand of the angel…

The perfect participle **ἠνεῳγένον** is adjectival because it has the matching article (**τό**). The participle's use is attributive because it modifies the noun **βιβλίον** as clear from the article-noun-article-participle construction and because **ἠνεῳγένον** agrees with **βιβλίον** (its subject) in case (accusative), gender (neuter), and number (singular). The noun **βιβλίον** is in the accusative case because it is the direct object of the verb **λάβε**.

Predicate Use (Perfect Tense Examples)
With this use, the participle completes a thought about a noun. The predicate use of the perfect participle is relatively common.

Example 5: **εὐλογημένος** ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·
He who comes in the name of the Lord is **blessed**.

Even though the perfect participle **εὐλογημένος** does not have the article, the participle is adjectival because it does not modify a verb. The participle's use is predicate because it completes a thought about **ὁ ἐρχόμενος** (He who comes is **blessed**). The participle **εὐλογημένος** agrees in gender (masculine) and number (singular) with **ὁ ἐρχόμενος**, its subject. In this instance, the participle's case is nominative because of its function in the sentence as a predicate adjective.

Example 6: ...Μαρία ... βλέπει τὸν λίθον **ἠρμένον** ἐκ τοῦ μνημείου.
…Mary … sees (saw) the stone **removed** from the tomb.

Even though the perfect participle **ἠρμένον** does not have the article, the participle is adjectival because it does not modify a verb. The participle's use is predicate because it completes a thought about the noun **λίθον** (it had been removed). As in this instance, predicate participles often accompany a verb of perception (**βλέπει**). The noun **λίθον** is the participle's subject. As such, the participle agrees with **λίθον** in case (accusative), gender (masculine), and number (singular). The case of **λίθον** is accusative because it is the direct object of the verb **βλέπει**.

26.1.9 Adverbial Uses of the Participle

A participle that does not have an article is sometimes adjectival but often is adverbial. The particular context must be examined carefully to decide. The most common adverbial uses can be divided into the following subcategories: adverbial proper, periphrastic, and genitive absolute. The first category was presented in the previous chapter and is here reviewed using examples from the perfect tense. This chapter also presents the periphrastic and genitive absolute uses.

Adverbial Proper Use (Perfect Tense Examples)
With this use, the participle (without the article) modifies a verb of the sentence. In other words, the participle provides additional information about the verbal action in terms of "when," "how," "why," etc. Consider the following examples with perfect tense participles.

Example 7: Ἐξανέστησαν δέ τινες τῶν ἀπο τῆς αἱρέσεως τῶν φαρισαίων **πεπιστευκότες** λέγοντες...
But some from the division of the Pharisees, **having believed**, rose up saying…

Example 8: καὶ τοῦτο **πεποιθὼς** οἶδα ὅτι μενῶ καὶ παραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως...
And, **having confidence in** this, I know that I will remain and continue with you all for your advancement and joy of faith…

Periphrastic Use (Present, Aorist, and Perfect Tense Examples)
With this use, the verb εἰμί or γίνομαι (to be) and participle combine to form a verbal idea. The appropriate translation for the verbal idea will depend on the tense of both εἰμί and the participle. For the periphrastic use, the participle will usually be in the nominative case. Consider the following examples.

Present Verb with Present Participle
Example 9: …καὶ ἰδοῦ **ζῶν εἰμι** εἰς τοὺς αἰῶνας τῶν αἰώνων...
...and behold **I am living** (I am alive) forever and ever…

Imperfect Verb with Present Participle
Example 10: καὶ αὐτὸς **ἦν διδάσκων**, καὶ ἦσαν **καθήμενοι** Φαρισαῖοι…
And He **was teaching** and the Pharisees were **sitting**…

Example 11: Ἐγὼ **ἤμην** ἐν πόλει Ἰόππῃ **προσευχόμενος**…
I was praying in the city of Joppa…

Future Verb with Present Participle
Example 12: Καὶ **ἔσεσθε μισούμενοι** ὑπὸ πάντων διὰ τὸ ὄνομά μου·
And **you will be hated** by all on account of my name.

Present Verb with Perfect Participle
Example 13: …χάριτί **ἐστε σεσῳσμένοι**...
...by grace **you have been saved**…

Imperfect Verb with Perfect Participle
Example 14: Οὔπω γὰρ **ἦν βεβλημένος** εἰς τὴν φυλακὴν ὁ Ἰωάννης.
For John **had** not yet **been thrown** into prison.[2]

[2] Notice that the imperfect verb requires that the perfect participle be translated with the English pluperfect.

Genitive Absolute Use (Present, Aorist and Perfect Tense Examples)
With this use, the participle modifies a verb in the sentence, usually by describing "when" the action occurs. Although it is technically a subcategory of the adverbial proper use, this participle's characteristics are unique enough to warrant a separate discussion. Those characteristics are:

1. The participle's subject always differs from the subject of the verb.
2. The participle's subject is often a nearby noun or pronoun in the genitive case.
3. The participle is always in the genitive case.
4. The participle often occurs at the beginning of the sentence.

Translating the genitive absolute into English often requires a dependent phrase consisting of a temporal marker such as "while" or "after," the participle's subject, and a finite verb.[3] Consider the following examples of the genitive absolute.

Participle in the Present Tense

Example 15: Ταῦτα **αὐτοῦ λαλοῦντος** πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.
While he was saying these things, many believed in Him.

Participle in the Aorist Tense

Example 16: **Καταβάντος** δὲ **αὐτοῦ** ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί.
But **after He descended** from the mountain, many multitudes followed him.

Example 17: Καὶ **ἐκβληθέντος τοῦ δαιμονίου** ἐλάλησεν ὁ κωφός.
And after the demon was cast out, the mute spoke.

Participle in the Perfect Tense

Example 18: **Συνηγμένων** οὖν **αὐτῶν** εἶπεν αὐτοις ὁ Πιλᾶτος·
Therefore, **after they had gathered**, Pilate said to them…

As with a previous example, the perfect (**Συνηγμένων**) is here best translated with a pluperfect (**had gathered**) due to differences in the usages of the Greek and English tenses.

[3] Sometimes a non-temporal marker such as "because" is required in some contexts.

26.2 OMEGA VERBS: PERFECT PARTICIPLES (ALL VOICES)

Memorization of the masculine forms is required, especially the nominative case.

26.2.1 Perfect Active Participle Forms of λύω

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	**λελυκώς**	**λελυκυῖα**	**λελυκός**
Genitive	**λελυκότος**	**λελυκυίης**	-
Dative	**λελυκότι**	-	**λελυκότι**
Accusative	**λελυκότα**	**λελυκυῖαν**	**λελυκός**
Plural			
Nominative	**λελυκότες**	**λελυκυῖαι**	**λελυκότα**
Genitive	**λελυκότων**	-	**λελυκότων**
Dative	**λελυκόσι(ν)**	-	-
Accusative	**λελυκότας**	-	**λελυκότα**

26.2.2 Perfect Middle/Passive Participle Forms of λύω

Case	Masculine	Feminine	Neuter
Singular			
Nominative	**λελυμένος**	**λελυμένη**	**λελυμένον**
Genitive	**λελυμένου**	**λελυμένης**	**λελυμένου**
Dative	**λελυμένῳ**	**λελυμένῃ**	**λελυμένῳ**
Accusative	**λελυμένον**	**λελυμένην**	**λελυμένον**
Plural			
Nominative	**λελυμένοι**	**λελυμέναι**	**λελυμένα**
Genitive	**λελυμένων**	**λελυμένων**	**λελυμένων**
Dative	**λελυμένοις**	**λελυμέναις**	**λελυμένοις**
Accusative	**λελυμένους**	**λελυμένας**	**λελυμένα**

26.3 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**. For participles, parsing means to write the tense, voice, "participle," case, gender, number, and dictionary form.

In addition, if the bolded word is a participle:

1. Indicate if its use is adjectival or adverbial. If adjectival, write the appropriate subcategory (substantival, attributive, or predicate). If adverbial, write the subcategory (adverbial proper, genitive absolute, periphrastic).

2. Indicate why the participle has the case that it has. Is the participle in the case that it is because it is serving a specific function in the sentence such as subject or direct object? (If so, which function?) Or, is the participle in the case it is because it is modifying another word and agrees with that word in case? (If so, which word?)

1. Μακάριοι οἱ εἰρηνοποιοί (the peacemakers)· ὅτι αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται. Μακάριοι οἱ **δεδιωγμένοι** ἕνεκεν (on account of) δικαιοσύνης· ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:9-10)

2. Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδεν τὴν πενθερὰν (mother-in-law) αὐτοῦ **βεβλημένην** καὶ πυρέσσουσαν (sick with a fever), καὶ ἥψατο τῆς χειρὸς αὐτῆς…

3. Καὶ ἔσεσθε **μισούμενοι** ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:22)

4. Καὶ δώσω σοὶ τὰς κλεῖς (keys) τῆς βασιλείας τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται **δεδεμένον** ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. Τότε διεστείλατο (He commanded) τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.

5. Ἀμὴν λέγω ὑμῖν, εἰσίν τινες ὧδε ἑστῶτες, οἵτινες οὐ μὴ γεύσωνται (will by no means taste) θανάτου, ἕως ἂν ἴδωσιν τὸν υἱὸν τοῦ ἀνθρώπου **ἐρχόμενον** ἐν τῇ βασιλείᾳ αὐτοῦ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 16:28)

6. Καὶ **καταβαινόντων** αὐτῶν ἐκ τοῦ ὄρους, ἐνετείλατο (commanded) αὐτοῖς ὁ Ἰησοῦς, λέγων, Μηδενὶ εἴπητε (tell)…

7. **Ἐλθόντων** δὲ αὐτῶν εἰς Καπερναούμ (Capernaum), προσῆλθον οἱ τὰ δίδραχμα (drachma) λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 17:24)

8. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται **δεδεμένα** ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ.

9. Οὗ γάρ εἰσιν δύο ἢ τρεῖς **συνηγμένοι** εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν. Τότε προσελθὼν αὐτῷ ὁ Πέτρος εἶπεν, Κύριε, ποσάκις (how often) ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου, καὶ ἀφήσω αὐτῷ; Ἕως ἑπτάκις (seven times); (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 18:20-21)

10. Καὶ **εἰσελθόντος** αὐτοῦ εἰς Ἱεροσόλυμα, ἐσείσθη (was stirred up) πᾶσα ἡ πόλις, λέγουσα, Τίς ἐστιν οὗτος; Οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης, ὁ ἀπὸ Ναζαρὲτ (Nazareth) τῆς Γαλιλαίας.

11. Τότε λέγει τοῖς δούλοις αὐτοῦ, Ὁ μὲν γάμος (wedding) ἕτοιμός ἐστιν, οἱ δὲ **κεκλημένοι** οὐκ ἦσαν ἄξιοι. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:8)

12. Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ. Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν (do they marry), οὔτε ἐκγαμίζονται (are they given in marriage), ἀλλ' ὡς ἄγγελοι τοῦ θεοῦ ἐν οὐρανῷ εἰσιν. Περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν, οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ θεοῦ, **λέγοντος**, Ἐγώ εἰμι ὁ θεὸς Ἀβραάμ, καὶ ὁ θεὸς Ἰσαάκ, καὶ ὁ θεὸς Ἰακώβ; Οὐκ ἔστιν ὁ θεὸς θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

13. **Συνηγμένων** δὲ τῶν Φαρισαίων, ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς, λέγων, Τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; Τίνος υἱός ἐστιν; Λέγουσιν αὐτῷ, Τοῦ Δαυίδ. Λέγει αὐτοῖς, Πῶς οὖν Δαυὶδ ἐν πνεύματι κύριον αὐτὸν καλεῖ, λέγων, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, Κάθου (Sit) ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον (under) τῶν ποδῶν σου; Εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστιν; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:41-45)

14. Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ⌜ **ἀποκτένουσα** ⌝τοὺς προφήτας καὶ λιθοβολοῦσα (stoning) τοὺς ἀπεσταλμένους πρὸς αὐτήν…

15. Λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι, ἕως ἂν **εἴπητε**, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 23:39)

16. Τότε **ἐρεῖ** ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ, Δεῦτε (Come), οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε (inherit) τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν…

17. **Ἐσθιόντων** δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν (He broke *it*) καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:26)

18. Καὶ ἐπέθηκαν ἐπάνω (upon) τῆς κεφαλῆς αὐτοῦ τὴν αἰτίαν (charge) αὐτοῦ **γεγραμμένην**, Οὗτός ἐστιν Ἰησοῦς ὁ βασιλεὺς τῶν Ἰουδαίων.

19. Τινὲς δὲ τῶν ἐκεῖ **ἑστώτων** ἀκούσαντες ἔλεγον ὅτι Ἠλίαν φωνεῖ οὗτος. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 27:47)

20. Ἀποκριθεὶς δὲ ὁ ἄγγελος εἶπεν ταῖς γυναιξίν, Μὴ φοβεῖσθε (Do … be afraid) ὑμεῖς· οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε. Οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ, καθὼς εἶπεν.

21. Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ **περιπατοῦντος** αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι, καὶ λέγουσιν αὐτῷ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς, Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Ἀποκρίθητέ (Answer) μοι. Καὶ ἐλογίζοντο πρὸς ἑαυτούς, λέγοντες, Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ, Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἀλλ' εἴπωμεν, Ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως (truly) προφήτης ἦν. Καὶ ἀποκριθέντες

λέγουσιν τῷ Ἰησοῦ, Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. (ΚΑΤΑ ΜΑΡΚΟΝ 11:27-33)

22. Καί τινες τῶν **παρεστηκότων** ἀκούσαντες ἔλεγον, Ἰδού, Ἠλίαν (Elijah) φωνεῖ.

23. καὶ πᾶν τὸ πλῆθος ἦν τοῦ λαοῦ **προσευχόμενον** ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος (of the offering)· ὤφθη δὲ αὐτῷ ἄγγελος κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου (of the altar)… (ΚΑΤΑ ΛΟΥΚΑΝ 1:10-11)

24. καὶ ἦν ὁ πατὴρ **αὐτοῦ** καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν (the falling) καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον…

25. Καὶ κατῆλθεν (He descended) εἰς Καφαρναοὺμ πόλιν τῆς Γαλιλαίας. καὶ ἦν **διδάσκων** αὐτοὺς ἐν τοῖς σάββασιν· καὶ ἐξεπλήσσοντο (they were marveling) ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου… (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:31-33)

26. Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν διδάσκων, καὶ ἦσαν **καθήμενοι** Φαρισαῖοι καὶ νομοδιδάσκαλοι (teachers of the law) … ἐκ πάσης κώμης (region) τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἰερουσαλήμ·

27. **Ἀπελθόντων** δὲ τῶν ἀγγέλων Ἰωάννου, ἤρξατο λέγειν (to say) τοῖς ὄχλοις περὶ Ἰωάννου, Τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι (to see); (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:24)

28. Πάντων δὲ **θαυμαζόντων** ἐπὶ πᾶσιν οἷς ἐποίει εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, Θέσθε (put) ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι (to be delivered) εἰς χεῖρας ἀνθρώπων.

29. Καὶ **πορευομένων** αὐτῶν ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτόν, Ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:57)

30. Ἦν δὲ **διδάσκων** ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασιν· καὶ ἰδού, γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ (eight)…

31. Ταῦτα δὲ αὐτῶν λαλούντων, αὐτὸς ὁ Ἰησοῦς ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, Εἰρήνη ὑμῖν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 24:37)

32. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

33. Καὶ οἱ ἀπεσταλμένοι ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:24-26)

34. Καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Στραφεὶς (after turning) δὲ ὁ Ἰησοῦς καὶ θεασάμενος (seeing) αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς, Τί ζητεῖτε;

35. ἀπεκρίθη αὐτῷ Ναθαναήλ, Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι ὅτι εἶδόν σε ὑποκάτω (under) τῆς συκῆς (the fig tree) πιστεύεις; … καὶ λέγει αὐτῷ, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:49-51)

36. Ἀπεκρίθη Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν (to enter) εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν.

37. Ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ ⌜Σαλήμ, ⌝ ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ· καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο. Οὔπω (not yet) γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν (prison) ὁ Ἰωάννης. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:23-24)

38. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος λαμβάνειν (to receive) οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

39. Αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι (homeland) τιμὴν οὐκ ἔχει. Ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ (feast)· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν (feast). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:44-45)

40. Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν (to eat). Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν (true). Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ.

41. Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν. Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους, Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς (truly) μαθηταί μου ἐστέ· καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει (will free) ὑμᾶς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:30-32)

42. Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσεν τὸ πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον.

43. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (we will live) αὐτῷ· εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει (rules). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:8-9)

44. Ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει, Καλέσω τὸν οὐ λαόν μου λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην. Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρήθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος.

45. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι (to know) τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 2:2)

46. …χάριτί ἐστε σεσωσμένοι…

47. τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ τῆς πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· θεοῦ τὸ δῶρον (gift)· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 2:8-9)

48. Πεποιθὼς τῇ ὑπακοῇ (obedience) σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

49. Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν (to sin), ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. (ΙΩΑΝΝΟΥ Α 3:9)

50. Πᾶσα ἀδικία (unrighteousness) ἁμαρτία ἐστίν· καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. Οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται (lies).

26.4 VOCABULARY

Verbs

1. **ἄρχομαι** — I begin — Acts 1:1
   ὧν **ἤρξατο** ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν
   of which things Jesus **began** both to do and teach

2. **ἐνδύω** — I put on, clothe — Matt 22:11
   εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ **ἐνδεδυμένον** ἔνδυμα γάμου·
   he saw there a man not **dressed** with a wedding garment.

3. **ἡγέομαι** — I consider, think — 1 Tim 1:12
   πιστόν με **ἡγήσατο**, θέμενος εἰς διακονίαν
   He considered me *to be* faithful, placing *me* into ministry

4. **ἰσκύω** — I am strong, strengthen — Phil 4:13
   Πάντα **ἰσχύω** ἐν τῷ ἐνδυναμοῦντί με
   I am strong *to do* all things by Him who strengthens me

Nouns

5. **ὁ/ἡ διάκονος,** ου — servant, minister — 1 Tim 4:6
   καλὸς ἔσῃ **διάκονος** Ἰησοῦ Χριστοῦ
   you will be a good **servant** of Jesus Christ

6. **ἡ θυσία,** ας — sacrifice — Rom 12:1
   παραστῆσαι τὰ σώματα ὑμῶν **θυσίαν** ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ
   to present your bodies a living **sacrifice**, holy, acceptable to God

Adjectives

7. **ἀληθινόν, ή, όν** — true — John 15:1
   Ἐγώ εἰμι ἡ ἄμπελος ἡ **ἀληθινή**
   I am the true **vine**

8. **ἰσχυρός, ά, όν** — strong — 1 Cor 4:10
   ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ **ἰσχυροί**·
   we are weak but you are **strong**.

Prepositions

9. **διὰ τὸ** + infinitive — because + *verb* — Mark 4:6
   διὰ τὸ μὴ **ἔχειν** ῥίζαν ἐξηράνθη.
   because it did not **have** root it dried up.

10. **εἰς τὸ** + infinitive — to, in order to, so that + *verb* — Matt 27:31
    ἀπήγαγον αὐτὸν **εἰς τὸ σταυρῶσαι**.
    they lead him **to be crucified**.

11. **ἐν τῷ** + infinitive — when, while + *verb* — Matt 13:4
Καὶ **ἐν τῷ σπείρειν** αὐτόν, ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν·
And **when he was sowing**, on the one hand some fell along the road.

12. **μετὰ τὸ** + infinitive — after + *verb* — Acts 19:21
Μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.
After I am there, it is necessary that I see Rome also.

13. **πρὸς τὸ** + infinitive — to, in order to + *verb* — Matt 23:5
Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν **πρὸς τὸ θεαθῆναι** τοῖς ἀνθρώποις·
But all their works they do **to be seen** by men.

Conjunction

14. **ἐπεί** — since, because — Rom 11:6
ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις.
because grace is no longer grace.

Interjection

15. **οὐαί** — woe — 1 Cor 9:16
οὐαὶ δέ μοι ἐστίν, ἐὰν μὴ εὐαγγελίζωμαι.
and **woe** is me if I do not preach the gospel.

27 INFINITIVES

27.1 GRAMMAR

27.1.1 Introduction to Infinitives in Greek

Greek infinitives combine the natures of two different parts of speech, the noun and verb, into one word. Infinitives are verbal nouns. The verbal nature is reflected in that infinitives have tense and voice. They can also perform several verbal functions in a sentence as well as take a direct and indirect object. The noun's nature is reflected in that infinitives can perform several noun functions such as be the subject or direct object. In English, examples of the infinitive are "to run," "to walk," "to see," etc.

27.1.2 Tense

Greek infinitives have different forms that communicate tense. The possible tenses for infinitives are present, aorist, or perfect. Those tenses convey how the action is presented by the speaker/writer. The following table presents the tenses and corresponding description.

Tense	How Action Presented
Present	In progress or continuing
Aorist	In summary form
Perfect	In summary form with continuing results

For infinitives, tense does not communicate the time of the action. This contrasts with the indicative mood and participles where tense can communicate absolute time or time relative to the main verb, respectively.

Lastly, these descriptions are basic. Various factors influence an author's selection of tense in a given context. Sometimes the author does not really have a "choice." Consequently, it can be very difficult to know, especially with infinitives and imperatives (the subject of chapter 28), the exact force of the tense in a given context. We urge you not to overemphasize or draw many conclusions regarding the particular tense of an infinitive or imperative until you have a better understanding of the language. Even then, the matter can be difficult to determine.

27.1.3 Voice

Infinitives have different forms that communicate voice (active, middle, passive). For active voice, the grammatical subject of the infinitive performs the action of the participle. For passive voice, the infinitive's subject receives the action. Middle voice is often translated as active voice.

27.1.4 Mood

Infinitives do not have mood (indicative, subjunctive, imperative). Furthermore, infinitives are not technically a mood. Nevertheless, when analyzing an infinitive, indicate that it is an infinitive by using the mood slot ("present, active, infinitive").

27.1.5 Overview of Infinitive Parts

λύειν

λυ — **Present Tense Stem**

ειν — **Active Infinitive Ending**

Root: λυ*

27.1.6 Tense Stem

Infinitives use the same tense stems as their indicative counterparts. If necessary, review the stems.

27.1.7 Infinitive Endings

Dividing the infinitive endings into the various parts (connecting vowel, tense marker, ending) is unnecessary. You should be able to identify those parts without difficulty.

Voice	Present	Aorist		Perfect	
		First	Second	First	Second
Active	ειν	σαι	ειν	κεναι	εναι
Middle	εσθαι	σασθαι	εσθαι	σθαι	θαι
Passive	εσθαι	θηναι	θηναι	σθαι	θαι

The forms of perfect infinitives are not included below because they are not as common. Moreover, they include reduplication which makes them easily identifiable.

27.1.8 Key Infinitive Words

Certain verbs are very frequently accompanied by an infinitive. The infinitive completes the verbal idea of those words. Learn them well because they are a helpful parsing tool.

Key Words	Translation
δύναμαι	I am able...
μέλλω	I am about…
δεῖ	It is necessary…
ἄρχομαι	I begin…

The verb θέλω also occurs frequently with an infinitive but, unlike the verbs above, also occurs regularly with non-infinitive verbal forms.

27.1.9 Structures and Uses of the Infinitive

The Greek infinitive appears in various structures and has various uses. Several are similar to English and do not require much explanation. Complementary and purpose infinitives are examples of that type. Your time is best spent studying examples that differ from English. Infinitives with the accusative of reference or infinitives as objects of prepositions are examples of that type. Consider each category with the respective examples.

Complementary Use

The complementary infinitive completes a verbal idea.[1] The key words listed above are frequently associated with this use.

Example 1: Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου **παραδίδοσθαι** εἰς χεῖρας ἀνθρώπων...
The son of man is about **to be delivered** into the hands of men…

Example 2: **.**..ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ **προσκυνεῖν**.
…in spirit and truth it is necessary **to worship**.

Purpose Use

The infinitive can also express purpose.

Example 3: Οὐ γὰρ ἦλθον **καλέσαι** δικαίους ἀλλὰ ἁμαρτωλούς.
For I did not come **to call** the righteous but sinners.

Infinitives with the Accusative of Reference (Subject of the Infinitive)

The infinitive can be accompanied by a noun (or pronoun) in the accusative case. Sometimes the noun is in the accusative case because it is the direct object of the infinitive. Other times the noun is functioning as the subject of the infinitive.[2] Since English does not have the same structure, translation will be more idiomatic.

Example 4: Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδεν ἀπεκρίθη, ὥστε **θαυμάζειν τὸν Πιλᾶτον**.
But Jesus no longer answered anything with the result that **Pilate was marveling** (= to marvel with respect to Pilate).

Example 5: **Ἡμᾶς** δεῖ **ἐργάζεσθαι** τὰ ἔργα τοῦ πέμψαντός με...
It is necessary that **we work** (= to work with respect to us) the works of He who sent me…

Example 6: Λογιζόμεθα γὰρ **δικαιοῦσθαι** πίστει **ἄνθρωπον** χωρὶς ἔργων νόμου.
For we consider that **a man is justified** (= to be justified with respect to a man) by faith, apart from the works of the law.

Example 7: Πῶς λέγουσιν **τὸν Χριστὸν εἶναι** Δαυὶδ υἱὸν;
How do they say that **the Christ is** (= to be with respect to the Christ) the son of David?

---

[1] Sometimes the infinitive is technically the subject of the verb.
[2] Those instances are more accurately called "infinitives with the accusative of reference."

Infinitives as the Object of a Preposition

The infinitive also occurs with various prepositions. The resulting meaning depends on the preposition. This use frequently appears with the accusative of reference.

διὰ τὸ + infinitive (because + verb…)

Example 8: …οὐκ ἔχετε **διὰ τὸ** μὴ **αἰτεῖσθαι ὑμᾶς**...
...you do not have **because you do** not **ask** (= because not to ask with reference to you)…

εἰς τὸ + infinitive (to, in order to, so that + verb)

Example 9: **…**καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται **εἰς τὸ σταυρωθῆναι**.
...and the son of man is given over **to be crucified**.

ἐν τῷ + infinitive (when, while + verb*)*

Example 10: Ἐγένετο δὲ **ἐν τῷ εἶναι αὐτοὺς** ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι...
And it came to pass that **while they were** (= while to be with respect to them) there the days were completed…

μετὰ τὸ + infinitive (after + verb)

Example 11: Ἀλλὰ **μετὰ τὸ ἐγερθῆναί με** προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.
But **after I have been risen** (after to be raised with respect to me), I will go before you to Galilee.

πρὸς τὸ + infinitive (to, in order to + verb)

Example 12: Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν **πρὸς τὸ θεαθῆναι** τοῖς ἀνθρώποις·
But all their works they do **to be seen** by men.

27.2 OMEGA AND CONTRACT VERBS: PRESENT AND AORIST INFINITIVES (ALL VOICES)

Memorize the forms of λύω.

27.2.1 Present Infinitives

Voice	λύω	Translation	ποιέω	ἀγαπάω	πληρόω
Active	λύ**ειν**	to loose	ποι**εῖν**	ἀγαπ**ᾶν**	πληρ**οῦν**
Middle/Passive	λύ**εσθαι**	to be loosed	ποι**εῖσθε**	ἀγαπ**ᾶσθαι**	πληρ**οῦσθαι**

27.2.2 First Aorist Infinitives

Voice	λύω	Translation	ποιέω	ἀγαπάω	πληρόω
Active	λύ**σαι**	to loose	ποιῆ**σαι**	ἀγαπῆ**σαι**	πληρῶ**σαι**
Middle	λύ**σασθαι**	to loose	ποιή**σασθαι**	-	πληώ**σασθαι**
Passive	λυ**θῆναι**	to be loosed	ποιη**θῆναι**	ἀγαπη**θῆναι**	πληρω**θῆναι**

27.2.3 Second Aorist Infinitives

Voice	λύω	ἔρχομαι	γίνομαι	βάλλω	Translation
Active	λύσαι	ἐλθ**εῖν**	-	-	to come
Middle	λύσασθαι	-	γεν**έσθαι**	-	to be
Passive	λυθῆναι	-	-	βλη**θῆναι**	to be cast
For the second aorist forms, the verb given is the most common form for the respective voice. Recognizing the change of stem is crucial for identifying second aorist forms.					

27.3 MI VERBS: PRESENT AND AORIST INFINITIVES (ALL VOICES)

27.3.1 Present Infinitives

Voice	λύω	εἰμί	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
Active	λύειν	εἶ**ναι**	διδό**ναι**	ἱστά**νειν**	τιθέ**ναι**	ἀφιέ**ναι**
Middle/Passive	λύεσθαι	-	δίδο**σθαι**	ἵστα**σθαι**	τίθε**σθαι**	-

27.3.2 Aorist Infinitives

Voice	λυ-	εἰμί	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
Active	λύσαι	-	δο**ῦναι**	στῆ**ναι**	θεῖ**ναι**	ἀφεῖ**ναι**
Middle	λύσασθαι	-	-	-	θέ**σθαι**	-
Passive	λύθηναι	-	δο**θῆναι**	στα**θῆναι**	τε**θῆναι**	-

27.4 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**. For infinitives, parsing means to write the tense, voice, "infinitive" in the mood slot, and dictionary form.

1. Καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα (forty) πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. Μετὰ δὲ τὸ **παραδοθῆναι** τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:13-15)

2. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ (paralytic), Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι (reasoning) ἐν ταῖς καρδίαις αὐτῶν, Τί οὗτος οὕτως λαλεῖ βλασφημίας; Τίς δύναται **ἀφιέναι** ἁμαρτίας εἰ μὴ εἷς, ὁ θεός; Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ διαλογίζονται (they were reasoning) ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς, Τί ταῦτα διαλογίζεσθε (do you reason) ἐν ταῖς καρδίαις ὑμῶν;

3. Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς, Οὐδέποτε (never) ἀνέγνωτε τί ἐποίησεν Δαυίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν (he hungered) αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιάθαρ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως (of show) ἔφαγεν, οὓς οὐκ ἔξεστιν **φαγεῖν** εἰ μὴ τοῖς ἱερεῦσιν, καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν; Καὶ ἔλεγεν αὐτοῖς, Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. (ΚΑΤΑ ΜΑΡΚΟΝ 2:25-28)

4. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίησεν δώδεκα, ἵνα ὦσιν μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς **κηρύσσειν**, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους (diseases), καὶ ἐκβάλλειν τὰ δαιμόνια· καὶ ἐπέθηκεν τῷ Σίμωνι ὄνομα Πέτρον· καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν, Υἱοὶ Βροντῆς (thunder)· καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. Καὶ ἔρχονται εἰς οἶκον· καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

5. Καὶ προσκαλεσάμενος αὐτούς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς, Πῶς δύναται Σατανᾶς Σατανᾶν **ἐκβάλλειν**; Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ (is divided), οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ (is divided), οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη. (ΚΑΤΑ ΜΑΡΚΟΝ 3:23-25)

6. …ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἐγένετο ἐν τῷ **σπείρειν**, ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἦλθεν τὰ πετεινὰ (birds) καὶ κατέφαγεν (devoured) αὐτό.

7. Ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ, Ὕπαγε (Go) εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀνάγγειλον (tell) αὐτοῖς ὅσα σοι ὁ κύριος **πεποίηκεν**, καὶ ἠλέησέν σε. Καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες ἐθαύμαζον. (ΚΑΤΑ ΜΑΡΚΟΝ 5:19-20)

8. Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα (homeland) αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ **γενομένου** σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο (were being amazed), λέγοντες, Πόθεν τούτῳ ταῦτα; Καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

9. Καὶ προσκαλεῖται (He calls = He called) τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς **ἀποστέλλειν** δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. Καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν… (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:7-8)

10. Ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι Οὐκ ἔξεστίν σοι ἔχειν τὴν **γυναῖκα** τοῦ ἀδελφοῦ σου. Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν (seized) αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο·

11. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Δότε (Give) αὐτοῖς ὑμεῖς **φαγεῖν**. (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:37)

12. Καὶ **ἐξῆλθεν** ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας (regions) Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν βαπτιστήν· καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. Καὶ αὐτὸς λέγει αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ. Καὶ ἤρξατο διδάσκειν αὐτούς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι (to be tried) ἀπὸ τῶν πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι·

13. Καὶ **ὤφθη** αὐτοῖς Ἠλίας σὺν ⌜ Μωσῇ, ⌝ καὶ ἦσαν συλλαλοῦντες (speaking with) τῷ Ἰησοῦ. Καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς (tents) τρεῖς, σοὶ μίαν, καὶ ⌜ Μωσῇ ⌝ μίαν, καὶ Ἠλίᾳ μίαν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 9:4-5)

14. Καὶ προσελθόντες ⌜ Φαρισαῖοι ⌝ **ἐπηρώτησαν** αὐτόν, Εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν.

15. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ οἴδατε τί **αἰτεῖσθε**. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; Οἱ δὲ εἶπον αὐτῷ, Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων (left) οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. (ΚΑΤΑ ΜΑΡΚΟΝ 10:38-40)

16. Καὶ ἔρχονται Σαδδουκαῖοι (Sadducees) πρὸς αὐτόν, οἵτινες λέγουσιν **ἀνάστασιν** μὴ εἶναι· καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες, Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ (leave) γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ…

17. Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς, Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας ὅτι εἷς ἐστιν, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς **καρδίας**, καὶ ἐξ ὅλης τῆς συνέσεως (understanding), καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος (strength)… (ΚΑΤΑ ΜΑΡΚΟΝ 12:32-33)

18. Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον **κηρυχθῆναι** τὸ εὐαγγέλιον. Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε (do … worry) τί λαλήσητε, μηδὲ μελετᾶτε (think about)·

ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον·

19. Ἀλλὰ μετὰ τὸ **ἐγερθῆναί** με, προάξω (I will go before) ὑμᾶς εἰς τὴν Γαλιλαίαν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:28)

20. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ, Σὺ λέγεις. Καὶ κατηγόρουν (were accusing) αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτόν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; Ἴδε, πόσα (how many things) σου καταμαρτυροῦσιν (they are accusing you). Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε **θαυμάζειν** τὸν Πιλάτον.

21. Ἐγένετο ἄνθρωπος **ἀπεσταλμένος** παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει (enlightens) πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:6-13)

22. Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν **γινώσκειν** πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος (Nicodemus) ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜αὐτὸν⌝ νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.

23. Ἀπεκρίθη Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται **εἰσελθεῖν** εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:5-7)

24. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος **λαμβάνειν** οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

25. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ (true) προσκυνηταὶ (worshippers) προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ **προσκυνεῖν**. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:22-24)

26. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται **ὥρα** καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς·

27. καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν **ἔχητε**. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω (I came to accuse) ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν (the one accusing) ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε (have hoped). Εἰ γὰρ ἐπιστεύετε ⌜ Μωσῇ, ⌝ ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:40-46)

28. Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς **φαγεῖν**. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Εἶπον οὖν πρὸς αὐτόν, Κύριε, πάντοτε δὸς (give) ἡμῖν τὸν ἄρτον τοῦτον. Εἶπεν δὲ αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ (will never hunger)·

29. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ (dwell) ἐν ὑμῖν. Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ⌜ ἐποιεῖτε. ⌝ Νῦν δὲ ζητεῖτέ με **ἀποκτεῖναι**, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. Εἶπον οὖν αὐτῷ, Ἡμεῖς ἐκ πορνείας (fornication) οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:37-41)

30. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ, Δὸς (Give) δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὤν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέν σοι; Πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. Τί πάλιν θέλετε **ἀκούειν**; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

31. Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:17-18)

32. Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα, ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

33. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου μείζων (greater) μού ἐστιν. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα, ὅταν γένηται, πιστεύσητε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:28-29)

34. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη…

35. Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 1:1)

36. Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπεν (spoke beforehand) τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ…

37. Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν ⌜ ἕτερον ⌝ τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 4:12)

38. …μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν (He made … move) αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε·

39. …πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 13:44)

40. Ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι.

41. Τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι Οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω (proclaim) ὑμῖν. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 17:3)

42. Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι (residents), τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.

43. Σαδδουκαῖοι (Sadducees) μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 23:8)

44. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου. Ἢ Ἰουδαίων ὁ θεὸς μόνον; Οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν·

45. Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:1)

46. καὶ σημεῖον ἔλαβεν περιτομῆς, σφραγῖδα (a seal) τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ (while uncircumcised)· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας (uncircumcised), εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην·

47. καθὼς γέγραπται ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε – κατέναντι (before) οὗ ἐπίστευσεν θεοῦ, τοῦ ζωοποιοῦντος (who causes to live) τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ σπέρμα σου. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:17-18)

48. Οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν…

49. Ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι (may … fill) ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 15:13)

50. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

51. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 11:22)

52. καὶ οὐδεὶς δύναται εἰπεῖν, Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

53. Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν, Χρείαν ὑμῶν οὐκ ἔχω. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 12:21)

54. Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην (grief) ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστίν.

55. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 5:28)

56. Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

57. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, Μετανοεῖτε (Repent)· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:17)

58. Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν (repentance).

59. …προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ, Ναί, κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω (let it be) ὑμῖν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 9:28-29)

60. Μὴ νομίσητε (Do not think) ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν (a sword).

61. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας (Caesarea) τῆς Φιλίππου (Philippi) ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 16:13)

62. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

63. καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔστω (let him be) ὑμῶν δοῦλος· ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον (a ransom) ἀντὶ πολλῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 20:27-28)

64. Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα (Passover) γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

65. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς … μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ Φαρισαίων ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω (let Him descend) νῦν ἀπὸ τοῦ σταυροῦ (cross), καὶ πιστεύσομεν ἐπ' αὐτῷ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 27:41-42)

27.5 VOCABULARY

Verbs

1. **ἁγιάζω** — I sanctify, set apart — Matt 6:9
   Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, **ἁγιασθήτω** τὸ ὄνομά σου·
   Our Father who *is* in the heavens, **sanctify** your name.

2. **γαμέω** — I marry — 1 Cor 7:39
   ἐλευθέρα ἐστὶν ᾧ θέλει **γαμηθῆναι**, μόνον ἐν κυρίῳ.
   she is free **to be married** to whom she wants, only in the Lord.

3. **προσκαλέομαι** — I summon, call — James 5:14
   Ἀσθενεῖ τις ἐν ὑμῖν; **Προσκαλεσάσθω** τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας
   Who is sick among you? **Let him call** the elders of the church

4. **προφητεύω** — I prophesy — Matt 15:7
   ὑποκριταί, καλῶς **προεφήτευσεν** περὶ ὑμῶν Ἠσαΐας
   hypocrites, Isaiah **prophesied** well concerning you

5. **τελέω** — I finish — 2 Tim 4:7
   Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον **τετέλεκα**, τὴν πίστιν τετήρηκα·
   I have fought the good fight, **I have finished** the race, I have kept the faith.

Nouns

6. **ἡ ἀδελφή**, ῆς — sister — Acts 23:16
   ὁ υἱὸς τῆς **ἀδελφῆς** Παύλου
   the son of the **sister** of Paul

7. **ἡ μάχαιρα**, ης — sword — Matt 10:34
   οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ **μάχαιραν**.
   I did not come to bring peace but a **sword**.

8. **ὁ μισθός**, οῦ — payment, reward, salary — Luke 10:7
   ἄξιος γὰρ ὁ ἐργάτης τοῦ **μισθοῦ** αὐτοῦ ἐστίν.
   for the worker is worthy of his **salary**.

9. **τὸ μυστήριον**, ου — mystery — Matt 13:11
   Ὑμῖν δέδοται γνῶναι τὰ **μυστήρια** τῆς βασιλείας τῶν οὐρανῶν
   To you it has been given to know the **mysteries** of the kingdom of heaven

10. **τὸ πάσχα** — Passover — Heb 11:28
    Πίστει πεποίηκεν τὸ **Πάσχα**
    By faith he has kept the **Passover**

11. **πλούσιος, α, ον** rich, wealthy Luke 19:2
Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν **πλούσιος**.
Zacchaeus, and he was a chief tax collector, and he was **rich**.

12. **φίλος, η, ον** loving; substantive: friend John 11:11
Λάζαρος ὁ **φίλος** ἡμῶν κεκοίμηται·
Lazarus our **friend** has fallen asleep.

Conjunction

13. **πόθεν** from where Rev 2:5
Μνημόνευε οὖν **πόθεν** ⌜ πέπτωκας ⌝
Remember therefore **from where** you have fallen

Adverb

14. **οὔπω** not yet, ever 1 John 3:2
οὔπω ἐφανερώθη τί ἐσόμεθα·
it is **not yet** evident what we will be.

Particle

15. **ποτέ** at some time, once Luke 22:32
σύ **ποτε** ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου.
you, **once** you have turned back, strengthen your brothers.

28 IMPERATIVES

28.1 GRAMMAR

28.1.1 Introduction to Imperatives

An imperative is a verbal form that communicates a command such as "walk," "run," "jump" or an exhortation such as "let us walk," "let us run," "let us jump." In Greek, imperatives have tense, voice, person, and number.

28.1.2 Tense

Imperatives have different forms that communicate tense. The possible tenses for imperatives are present, aorist, and perfect. Only the present and aorist forms are common enough to warrant presenting herein.

The various tenses convey how the action is presented by the speaker/writer. The following table presents the tenses and corresponding description.

Tense	How Action Is Presented
Present	In progress or continuing
Aorist	In summary form

For imperatives, tense does not communicate the time of the action. This contrasts with the indicative mood and participles where tense can communicate absolute time or time relative to the main verb, respectively.

Lastly, these descriptions are basic. Various factors influence an author's selection of tense in a given context. Sometimes the author doesn't really have a "choice." Consequently, it can be very difficult to know, especially with infinitives and imperatives, the exact force of the tense in a given context. We urge you not to overemphasize or draw many conclusions regarding a particular tense of an imperative until you have a better understanding of the language. Even then, the matter can be difficult to determine.

28.1.3 Voice

Imperatives have different forms that communicate voice (active, middle, passive). For active voice, the grammatical subject of the infinitive performs the action of the participle. For passive voice, the infinitive's subject receives the action. Middle voice is often translated as active voice.

28.1.4 Mood

Imperative is a mood in the technical sense. Its primary use is to communicate a command or exhortation.

28.1.5 Person and Number

Imperatives have different forms that communicate person (only second or third) and number (singular, plural).

28.1.6 Overview of Imperative Parts

λύε

λυ — **Present Tense Stem**

ε — **Active Imperative Ending (2s)**

Root: λυ*

28.1.7 Tense Stem

Imperatives use the same tense stems as their indicative counterparts. If necessary, review the stems.

28.1.8 Imperative Endings

Dividing the imperative endings into the various parts (connecting vowel, tense marker, ending) is unnecessary. You should be able to identify those parts without difficulty.

P/N	Present	First Aorist
Active		
2s	ε	σον
2p	ετε	σατε
3s	ετω	σατω
3p	ετωσαν	σατωσαν
Middle		
2s	ου	σαι
2p	εσθε	σασθε
3s	εσθω	σασθω
3p	εσθσαν	σασθωσαν
Passive		
2s	ου	θητι
2p	εσθε	θητε
3s	εσθω	θητω
3p	εσθσαν	θητωσαν

Second aorist imperatives use the present endings shown above. Liquid verbs will only use alpha (α) as the tense marker in the aorist imperative, not sigma (σ) or sigma-alpha (σα).

28.1.9 Examples of the Imperative

Example 1: **Ἔγειρε** καὶ **περιπάτει**.
Rise and **walk**.

Example 2: Κύριε, **σῶσόν** με.
Lord, save me.

Example 3: **Ποιήσατε** οὖν καρπὸν ἄξιον τῆς μετανοίας.
Therefore, **produce** fruit worthy of repentance.

Example 4: **Γρηγορεῖτε** καὶ **προσεύχεσθε**, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.
Watch and **pray** lest you should enter into temptation.

Example 5: **Ἐλθέτω** ἡ βασιλεία σου·
May your kingdom **come**.

Example 6: **Ἔστω** δὲ πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν·
And **let** every man **be** quick to hear, slow to speak, slow to wrath.

Example 7: Καὶ **προσκυνησάτωσαν** αὐτῷ πάντες ἄγγελοι θεοῦ.
And **let** all the angels of God **worship** him.

28.2 OMEGA AND CONTRACT VERBS: IMPERATIVES (ALL VOICES)

Memorize the present and aorist imperative forms of λύω.

28.2.1 Present Imperatives

P/N	Form	Translation	ποιέω	ἀγαπάω	πληρόω
Active					
2s	λύ**ε**	Untie	ποίε**ι**	ἀγάπ**α**	πλήρ**ου**
3s	λυ**έτω**	Let him untie	ποιε**ίτω**	ἀγαπ**άτω**	-
2p	λύ**ετε**	Untie (you all)	ποιε**ῖτε**	ἀγαπ**ᾶτε**	πληρ**οῦτε**
3p	λυ**έτωσαν**	Let them untie	ποιε**ίτωσαν**	ἀγαπ**άτωσαν**	-
Middle/Passive					
2s	λύ**ου**	Be untied	Not common enough to present.[1]		
3s	λυ**έσθω**	Let him be untied			
2p	λύ**εσθε**	Be untied (you all)			
3p	λυ**έσθσαν**	Let them be untied			

28.2.2 First Aorist Imperatives

P/N	Form	Translation	ποιέω	ἀγαπάω	πληρόω
Active					
2s	λύ**σον**	Untie	ποίη**σον**	ἀπάγη**σον**	πλήρω**σον**
3s	λυ**σάτω**	Let him untie	ποιη**σάτω**	-	-
2p	λύ**σατε**	Untie (you all)	ποιή**σατε**	ἀγαπή**σατε**	πληρώ**σατε**
3p	λυ**σάτωσαν**	Let them untie	ποιη**σάτωσαν**	-	-
Middle					
2s	λύ**σαι**	Untie	Not common enough to present.		
3s	λυ**σάσθω**	Let him untie			
2p	λύ**σασθε**	Untie (you all)			
3p	λυ**σάσθωσαν**	Let them untie			
Passive					
2s	λύ**θητι**	Be untied	Not common enough to present.		
3s	λυ**θήτω**	Let him be untied			
2p	λύ**θητε**	Be untied (you all)			
3p	λυ**θήτωσαν**	Let them be untied			

28.2.3 Second Aorist Imperatives

P/N	Form	Translation
Active		
2s	λάβ**ε**	Take
3s	λαβ**έτω**	Let him take
2p	λάβ**ετε**	Take (you all)
3p	-	-

[1] The main exception is φοβέομαι whose second person singular and plural imperative forms are φοβοῦ and φοβεῖσθε, respectively. They often occur with μή (i.e. do not fear).

28.3 MI VERBS: IMPERATIVES (ACTIVE VOICE)

Only active forms appear enough in the New Testament to warrant presenting. In general, memorization of the forms is not necessary.

28.3.1 Present Active Imperatives

With the exception of εἰμί, present imperative forms of mi verbs are not common.[2]

P/N	λύω	εἰμί
Active Voice		
2s	λύε	ἴσ**θι**
3s	λυέτω	ἔσ**τω**
2p	λύετε	-
3p	λυέτωσαν	ἔσ**τωσαν**

28.3.2 Aorist Active Imperatives

Among mi verbs that occur in the aorist imperative, δίδωμι and ἀφίημι are the most frequent. Prioritize your study time accordingly. Also, observe that only the root (not duplication with iota) is present.

P/N	Dictionary Form (Uses Present Tense Stem)				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Aorist Tense Stem				
	λυ*	δο-	στα-	θε-	ἀπο+ἑ-
Active Voice					
2s	λύε	δό**ς**	στῆ**θι**	θέ**ς**	ἄφε**ς**
3s	λυέτω	δό**τω**	στή**τω**	-	-
2p	λύετε	δό**τε**	στῆ**τε**	-	ἄφε**τε**
3p	λυέτωσαν	-	-	-	-

[2] The present imperative forms of mi verbs that do exist in the New Testament are easily identifiable because of context and the duplication with iota.

28.4 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**.

1. **Ποιήσατε** οὖν καρποὺς ἀξίους τῆς μετανοίας (of repentance)· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 3:8)

2. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, **εἰπὲ** τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτόν, λέγων, Γέγραπται ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ⌜ ἄνθρωπος, ⌝ ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ.

3. Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν (fell) τοῖς γόνασιν (to the knees) Ἰησοῦ, λέγων, **Ἔξελθε** ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε. (ΚΑΤΑ ΛΟΥΚΑΝ 5:8)

4. Καὶ ἐκτείνας (after stretching out) τὴν χεῖρα ἥψατο αὐτοῦ, εἰπών, Θέλω, **καθαρίσθητι**. Καὶ εὐθέως ἡ λέπρα (leprosy) ἀπῆλθεν ἀπ' αὐτοῦ. Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου…

5. Τί ἐστιν εὐκοπώτερον (easier), εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι καὶ **περιπάτει**; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας - εἶπεν τῷ παραλελυμένῳ (paralytic) - Σοὶ λέγω, ἔγειραι… (ΚΑΤΑ ΛΟΥΚΑΝ 5:23-24)

6. ⌜ Ἀλλ' ⌝ ὑμῖν λέγω **τοῖς ἀκούουσιν**, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους (those who curse) ὑμῖν, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων (those who insult) ὑμᾶς.

7. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος (under authority), **ἔχων** ὑπ' ἐμαυτὸν στρατιώτας (soldiers), καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν, Λέγω ὑμῖν, ⌜ οὔτε ⌝ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:8-9)

8. Οὗ χάριν, λέγω σοι, **ἀφέωνται** αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπεν δὲ αὐτῇ, Ἀφέωνταί σου αἱ ἁμαρτίαι. Καὶ ἤρξαντο οἱ συνανακείμενοι (those sitting at the table with him) λέγειν ἐν ἑαυτοῖς, Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; Εἶπεν δὲ πρὸς τὴν γυναῖκα, Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην.

9. Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ **ἔχειν** ἀρθήσεται ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν (to reach) αὐτῷ διὰ τὸν ὄχλον. (ΚΑΤΑ ΛΟΥΚΑΝ 8:18-19)

10. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων, Μὴ φοβοῦ. Μόνον **πίστευε**, καὶ σωθήσεται. Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, καὶ τὸν πατέρα τῆς παιδὸς (the girl) καὶ τὴν μητέρα.

11. Πάντων δὲ **θαυμαζόντων** ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:43-44)

12. Καὶ ἐγένετο ἐν τῷ **εἶναι** αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο (He stopped), εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν, Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ. Εἶπεν δὲ αὐτοῖς, Ὅταν προσεύχησθε, λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοις, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῳ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον (daily) δίδου ἡμῖν τὸ καθ' ἡμέραν. Καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν.

13. Κἀγὼ ὑμῖν λέγω, **αἰτεῖτε**, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε (knock), καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι (to him who knocks) ἀνοιγήσεται. (ΚΑΤΑ ΛΟΥΚΑΝ 11:9-10)

14. Ἐν αὐτῇ τῇ ἡμέρα **προσῆλθόν** τινες Φαρισαῖοι, λέγοντες αὐτῷ, Ἔξελθε καὶ πορεύου ἐντεῦθεν (from here), ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι.

15. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, **Προσεύχεσθε** μὴ εἰσελθεῖν εἰς πειρασμόν (temptation). (ΚΑΤΑ ΛΟΥΚΑΝ 22:39-40)

16. …καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες, Ἄλλους ἔσωσεν, **σωσάτω** ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστός, ὁ τοῦ θεοῦ ἐκλεκτός (chosen one).

17. Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος **ἐπετίμα** αὐτῷ, λέγων, Οὐδὲ φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; (ΚΑΤΑ ΛΟΥΚΑΝ 23:39-40)

18. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Εἰ ᾔδεις (you knew) τὴν δωρεὰν (gift) τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, **Δός** μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.

19. Λέγει πρὸς αὐτὸν ἡ γυνή, **Κύριε**, δός μοι τοῦτο τὸ ὕδωρ… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:15)

20. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε, **φώνησον** τὸν ἄνδρα σοῦ, καὶ ἐλθὲ ἐνθάδε (here). Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν, Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Καλῶς εἶπας ὅτι Ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· τοῦτο ἀληθὲς (truly) εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί.

21. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Πορεύου· ὁ υἱός σου ζῇ. Καὶ **ἐπίστευσεν** ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:50)

22. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ, **Δὸς** δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὤν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέν σοι; Πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. Τί πάλιν θέλετε ἀκούειν; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

23. Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ **πιστεύετέ** μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. Ἐζήτουν⌜ οὖν ⌝πάλιν αὐτὸν πιάσαι (to seize)· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν. Καὶ ἀπῆλθεν πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ. Καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ ἔλεγον ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ (true) ἦν. Καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:37-42)

24. καὶ τί εἴπω; Πάτερ, **σῶσόν** με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

25. Μὴ ταρασσέσθω (let … be troubled) ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ **πατρός** μου μοναὶ (mansions) πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ⌜ ἑτοιμάσω ⌝ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:1-4)

26. Ὁ **ἑωρακὼς** ἐμέ, ἑώρακεν τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος (also that one) ποιήσει, καὶ μείζονα (greater) τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. Καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.

27. Ἐν τούτῳ **ἐδοξάσθη** ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέν με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:8-12)

28. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ **λήψεσθε**, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

29. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρεν (He lifted up) τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ εἶπεν, Πάτερ, **ἐλήλυθεν** ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα (I have completed) ὃ δέδωκάς μοι ἵνα ποιήσω. Καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ τὸν λόγον σου τετηρήκασιν. Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:1-7)

30. Ἴδε, ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν, **Ἆρον**, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος, Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα (Caesar). Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἤγαγον·

31. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, Μὴ γράφε, Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι Ἐκεῖνος εἶπεν, Βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος, Ὃ γέγραφα, γέγραφα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:21-22)

32. …οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ κύριον καὶ Χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησεν, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

33. Οἱ δὲ εἶπον, Πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν (he washed *them*) ἀπὸ τῶν πληγῶν (blows), καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 16:31-33)

34. Οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

35. Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 10:31)

36. Καθὼς Ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοί Ἀβραάμ.

37. ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε - ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ (goodness) καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ - δοκιμάζοντες τί ἐστιν εὐάρεστον (acceptable) τῷ κυρίῳ· (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 5:8-10)

38. Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς (ministers) αὐτοῦ πυρὸς φλόγα (flame)·

39. Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας (of liberty) μέλλοντες κρίνεσθαι. (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 2:12)

40. Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστιν καθ' ἑαυτήν. Ἀλλ' ἐρεῖ τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Σὺ πιστεύεις ὅτι ὁ θεός εἷς ἐστιν· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσιν, καὶ φρίσσουσιν (tremble).

41. Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία (the pride) τοῦ βίου (of life), οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ τοῦ κόσμου ἐστίν. (ΙΩΑΝΝΟΥ Α 2:15-16)

42. Ὑμεῖς οὖν ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. Ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.

43. Ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις… (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 1:11)

44. Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

45. Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον (Egypt), καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοί· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 2:13)

46. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστής, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων, Μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

47. Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας· καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 3:8-9)

48. Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

49. ἐγὼ δὲ λέγω ὑμῖν, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους (those who curse) ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν … διωκόντων ὑμᾶς· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:44)

50. οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν … δὸς ἡμῖν σήμερον·

51. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε (knock), καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι (to the one who knocks) ἀνοιγήσεται. Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει (will give) αὐτῷ; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 7:7-9)

52. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.

53. Τότε λέγει αὐτοῖς, Ἀπόδοτε οὖν τὰ Καίσαρος (the things of Caesar) Καίσαρι (to Caesar)· καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι (Sadducees), ⌜ οἱ ⌝ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτόν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:22-23)

54. τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη·

55. Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν (He broke *it*) καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν, Λάβετε, φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων, Πίετε ἐξ αὐτοῦ πάντες· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:26-27)

56. Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν ἐπ' αὐτῷ.

57. καὶ λέγει αὐτῷ, Ὅρα, μηδενὶ μηδὲν εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ (clean) σου ἃ προσέταξεν (commanded) Μωσῆς… (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:44)

58. Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ (to the synagogue ruler), Μὴ φοβοῦ, μόνον πίστευε.

59. εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ (girl), Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί· καὶ ὤμοσεν (he swore) αὐτῇ ὅτι Ὃ ἐάν με αἰτήσῃς, δώσω σοί… (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:22-23)

60. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Καὶ λέγουσιν αὐτῷ, Ἀπελθόντες ἀγοράσωμεν δηναρίων (denarii) διακοσίων (two hundred) ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν; Ὁ δὲ λέγει αὐτοῖς, Πόσους ἄρτους ἔχετε; Ὑπάγετε καὶ ἴδετε.

61. Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς, Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω (let him deny) ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν (cross) αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 8:34-35)

62. Αὐτὸς γὰρ Δαυὶδ εἶπεν ἐν πνεύματι ἁγίῳ, Λέγει ὁ κύριος τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον (footstool) τῶν ποδῶν σου.

63. καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, Καθίσατε ὧδε, ἕως προσεύξωμαι. Καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυτοῦ… (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:32-33)

64. ἦλθεν ἡ ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ παραδιδούς με ἤγγικεν. Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν (swords) καὶ ξύλων (clubs), παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.

65. Ὁ δὲ Πιλάτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς, Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων; Οἱ δὲ πάλιν ἔκραξαν, Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς, Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως (all the more) ἔκραξαν, Σταύρωσον αὐτόν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 15:12-14)

28.5 VOCABULARY

Verbs

1. **ἀποκαλύπτω** — I reveal — Matt 16:17
   σὰρξ καὶ αἷμα οὐκ **ἀπεκάλυψέν** σοι
   flesh and blood **did** not **reveal** to you

2. **βαστάζω** — I bear, carry — Gal 6:2
   Ἀλλήλων τὰ βάρη **βαστάζετε**
   Bear the burdens of one another

3. **ἥκω** — I have come — Matt 24:14
   τότε **ἥξει** τὸ τέλος.
   then the end **will come**

4. **ἰάομαι** — I heal — James 5:16
   εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως **ἰαθῆτε**.
   pray for one another so that **you may be healed**.

5. **καταργέω** — I nullify, destroy — 1 Cor 15:26
   Ἔσχατος ἐχθρὸς **καταργεῖται** ὁ θάνατος.
   The last enemy, death, **will be destroyed**.

6. **κελεύω** — I command, order — Matt 14:28
   κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα.
   Command me to come to you on the water.

Nouns

7. **ἡ ἀδικία**, ας — unrighteousness — Rom 9:14
   Μὴ **ἀδικία** παρὰ τῷ θεῷ;
   There is not **unrighteousness** with God, is there?

8. **ἡ ἑορτή, ῆς** — feast — John 6:4
   Ἦν δὲ ἐγγὺς τὸ Πάσχα, ἡ **ἑορτὴ** τῶν Ἰουδαίων.
   The Passover, the **feast** of the Jews, was near.

9. **ἡ θυγάτηρ,** θυγατρός — daughter — Matt 9:22
   Θάρσει, **θύγατερ**· ἡ πίστις σου σέσωκέν σε.
   Take courage, **daughter**. Your faith has delivered you.

10. **ἡ κώμη,** ης — village — Acts 8:25
    πολλάς τε **κώμας** τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.
    and *in* many **villages** of the Samaritans received the good news.

11. **ὁ σταυρός,** οῦ — cross — Phil 2:8
    γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ **σταυροῦ**.
    being obedient until death, even death of the **cross**.

12. **ἀληθής, ές** — true — Phil 4:8
    Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν **ἀληθῆ** … ταῦτα λογίζεσθε.
    Finally, brothers, as much as is **true** consider these *things*.

13. **πόσος, η, ον** — how much — Matt 15:34
    Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον, Ἑπτά, καὶ ὀλίγα ἰχθύδια.
    How much bread do you have? But they said, "Seven *loaves* and a few little fish."

14. **σός, σή, σόν** — your — Mark 2:18
    οἱ δὲ **σοὶ** μαθηταὶ οὐ νηστεύουσιν;
    but **your** disciples do not fast?

Adverb

15. **ἐκεῖθεν** — from there — Matt 4:21
    προβὰς **ἐκεῖθεν**, εἶδεν ἄλλους δύο ἀδελφούς
    going on **from there**, He saw two other brothers

29 CONDITIONAL SENTENCES

29.1 INTRODUCTION

In the most basic description, conditional sentences are sentences that contain a condition (if) and a consequence (then). The consequence (then) depends on the fulfillment or non-fulfillment of the condition (if). An example of a conditional sentence in English is: "If it rains this afternoon, I will take my umbrella." Another example is: "If I am late for work, my boss will fire me."

Greek has four basic structures of conditional sentences which express five different ideas. The following sections will present those structures (29.2), their meaning (29.3), other factors that affect the significance of the statement (29.4), and examples (29.5). As with the discussions about tense, this chapter presents a very elementary and simplistic introduction to a topic that can be very complex. Students should remember that additional study will be necessary.

29.2 STRUCTURE OF CONDITIONAL SENTENCES

The form of conditional sentences must first be considered. If a conditional sentence is fully expressed, it will have two major components: the "if" clause (protasis) and the "then" clause (apodosis). The "if" clause (protasis) is grammatically dependent, meaning it is not a complete thought but needs additional information (If it rains tomorrow). The "then" clause (apodosis) is grammatically independent, meaning it is a complete thought (I will carry my umbrella). Combining the two clauses results in a sentence where the second part is a consequence of the first: "If it rains tomorrow, I will carry my umbrella."

Greek conditional sentences are categorized into four classes or groups based on how the "if" (protasis) and "then" clauses (apodosis) are expressed. Those classes are shown in the following table.

Class	"If" (Protasis)	"then" (Apodosis)
1st	εἰ + indicative of any tense	indicative, imperative, or subjunctive
2nd	εἰ + imperfect or aorist indicative	(ἄν) + imperfect or aorist indicative
3rd (FMP)[1]	ἐάν + subjunctive	any tense or mood
3rd (PG 5th)[1]	ἐάν + subjunctive	present indicative
4th	εἰ + optative[2]	(ἄν) + optative

[1] Some grammars divide 3rd class conditions into two groups: 3rd class (future more probable) and 5th class (present general). This division is based more on a difference in the conditions' meaning rather than structure. The future more probable (FMP) presents specific situations that may or may not happen; however, if the protasis ("if") *does in fact occur*, the apodosis ("then") will definitely occur, at least as far as the speaker is concerned. Consider the following example: "If John tries to take all of the inheritance, I am going to fight him in court." The statement contains a specific event that is still undetermined. Maybe John will or maybe he won't be so greedy! If John does try to take the inheritance, the person making the statement will be sure to take him to court. The present general condition (PG) presents general activities that take place at any time or possibly things that happen all the time. Consider the following example: "If brothers and sisters get greedy, there are divisions within the body." The statement is a general description of what would normally be expected to happen.

The most basic distinction between the different types of conditions is the mood used in the protasis (indicative, subjunctive, or optative). Conditions using the indicative mood are simply presenting something as true or not true. The word "presenting" cannot be over-emphasized because the sentence may or may not match reality. The speaker could be mistaken, lying, assuming an untruth with which he disagrees for the sake of argument, etc. Then again, the statement could reflect reality. Factors beyond the statement itself must be considered to determine its validity.

Conditions using the subjunctive mood in the protasis express something that, from the perspective of the speaker, is not yet determined to be true or untrue. The speaker presents doubt about whether or not something will occur. The optative mood expresses something with even a bit more doubt about the fulfillment. Wishes and prayers often belong in the optative mood.

Two final points should be made before proceeding to the next section about meaning. First, the grammatical structures presented above are given in a simple fashion as an introduction. Variations exist in the Greek New Testament. Either the "if" or "then" clause could be omitted (elided) or implied. Instead of a verb in the indicative or subjunctive mood, participles or the imperative mood could be present. Sometimes the parts of the conditions are mixed. Luke 17:6, for example, has 1st and 2nd class parts. John 13:17 has 1st and 3rd class parts. In that use, the assumption is that the disciples presently **know**, but it is questionable whether or not they will **do.**

Second, at this point in your study, do not get frustrated with the difficulty conditional sentences may present. Master the "standard" structures now without concern over any conditional statements that do not fit the norm. There will be plenty of time for frustration at a later stage of your study. One needs to approach conditional sentences expecting a great deal of flexibility. That is, after all, the way Greek speakers used this aspect of the language!

29.3 MEANING OF CONDITIONAL SENTENCES

As mentioned previously, the "if" clause (protasis) is grammatically dependent and the "then" clause (apodosis) is independent. In terms of meaning (semantic force), however, the reverse is true. The "if" clause is semantically independent, and the "then" clause is semantically dependent. In other words, the possibility of the "if" clause does not depend on the "then" clause. Consider the following statement: "If it rains this afternoon, I will take my umbrella." The possibility of it raining this afternoon does not depend on whether or not I carry my umbrella. However, carrying the umbrella (in this linguistic structure) does depend on whether or not it rains.

The following table provides the basic meanings of the different classes of conditional sentences. Further analysis must await a later stage of the student's Greek studies. Remember that these descriptions are only showing how the different conditions are used in

[2] The optative mood was being used less and less during the period of Koine Greek, with the subjunctive taking its place. The New Testament reflects this change in that the optative occurs less than 70 times. Not surprisingly, there are no complete 4th class conditional sentences in the New Testament. The optative is not used in modern Greek.

speech or writing. They do not necessarily describe the truth or non-truth of what occurs in the real world.

Class	Meaning
1st	presentation of something as fact
2nd	presentation of something as contrary to fact
3rd (FMP)	presentation of something that may have future fulfillment
3rd (PG – 5th)	presentation of something that occurs generally at any time
4th	presentation of something with less probability of occurrence

29.4 OTHER CONSIDERATIONS OF CONDITIONAL SENTENCES

Although grammatical factors such as structure and word meaning are very important for understanding conditional sentences, the overall context and situation also play an important role and cannot be ignored. The following paragraphs present some examples of those issues that may be involved. They are not intended to be comprehensive nor are they intended for you to master. The purpose is to expose you to the complexity and importance of conditional sentences.

Consider the example, "If it rains this afternoon, I will carry my umbrella." As expressed in this statement, taking the umbrella depends on whether or not it rains. Although the consequential "then" is not expressed, it is certainly there logically. In reality, there might be times I would carry the umbrella because I was going to be out in the hot sun for long periods with no expectation of rain. Then again, I might make the statement and then forget to carry my umbrella even though the weatherman is correct and a heavy rain comes. I could be lying; I could be joking; I could just be making up the sentence for use in a Greek grammar! One must remember that conditional sentences are ways of expressing things and may or may not picture reality accurately. The final significance of conditionals in communication will always be determined by a much wider context that entails the complete situation in which the speech act occurs.

Luke 12:26 provides an example of a condition where the speaker's intent is important. Jesus says, "Therefore, if you are not able to do even the least of things, why are you anxious concerning the greater things?" Technically, the "then" clause (apodosis) is a question: "Why then are you anxious concerning the greater things?" However, the rhetorical intent of the Lord's words is not to ask a question but to lead the disciples to the conclusion that they should not worry. In short, the force is that of a command to avoid anxiety over the future. "Do not worry."

John 18:23 shows how the force of a statement may be influenced more by logical considerations than grammatical structures. Jesus says, "If I have spoken that which is not correct, demonstrate where I have erred." The statement "If I have spoken that which is not correct" begins a first class condition. First class conditions present something as true. For the sake of argument, Jesus assumes that He has spoken falsehoods when in fact He has not. Then He adds, "But if [I have spoken] correctly, why are you beating me?" Here Jesus is not simply asking a question but pointing out to His adversaries that they should not be beating Him.

The examples of these types of situations could be multiplied. That Peter is asking for permission more than describing a conditional situation in Matthew 17:4 (if you want, I will build here three tabernacles…) is evident from the hortatory subjunctives used in Luke 9:33 and Mark 9:5. The condition found in Luke 23:35 (…let him save himself, if He is the Christ…) clearly involves mockery and slander based on the larger context. This understanding is also supported by details from Matthew 27:39, 41 and Mark 15:29-32 where the intentions of Jesus' enemies are clearly stated. They have no interest at that point of getting into a logical discussion of what might be true or untrue. They are already totally convinced in their minds about the character of Jesus. It was their strong opinion about Him that led them to such ridicule. Lastly, Matthew 7:7 (Ask and it will be given…) is an example where a condition can be present even if the formal structure is absent. In this instance, an imperative verb is used as a protasis.

As seen above, implications derived from the larger context should not be ignored. Learning those various possibilities will come with further study of the language. Even then, however, you should be aware that some complex constructions may have nuances of meaning that are lost entirely to us because there are no longer native speakers of Koine Greek. For now, you are encouraged to learn the basic structures and continue advancing in the beautiful world of conditional sentences.

29.5 EXAMPLES OF CONDITIONAL SENTENCES

29.5.1 First Class Conditions

This condition presents something as true. The structure is as follows:

"If" (Protasis)	"then" (Apodosis)
εἰ + indicative of any mood	indicative imperative subjunctive

Example 1: Καὶ **εἰ** ἐγὼ ἐν Βεελζεβοὺλ **ἐκβάλλω** τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι **ἐκβάλλουσιν**;
And **if I cast out** the demons by Beelzebub, by whom **do** your sons **cast** them **out**.

This is an example of a first class condition that is used in many Greek grammars. Jesus debates with the Pharisees and assumes in the discussion the very point that is the basis of their attack. They think He casts out demons by the power of Beelzebub. The fact that Jesus states this condition in a first class structure does not mean He is casting out demons by Beelzebub. The opposite is true! Jesus starts with the idea that, if it were true, what would follow?

Example 2: …**εἰ** τὸν λόγον μου **ἐτήρησαν**, καὶ τὸν ὑμέτερον **τηρήσουσιν**.
…if they kept my word, **they will** also **keep** yours.

Example 3: **Εἰ** γὰρ Ἀβραὰμ ἐξ ἔργων **ἐδικαιώθη**, **ἔχει** καύχημα…
If Abraham was justified by works, he has a boast…

The condition here has strong theological significance.

Example 4: **Εἰ** γὰρ νεκροὶ οὐκ **ἐγείρονται**, οὐδὲ Χριστὸς **ἐγήγερται**·
For **if** the dead **are** not **raised**, neither **has** Christ **been raised**.

This is another good example where the author uses a first class condition for the sake of argument. In the context, Paul is clearly arguing that the dead will be raised. He disagrees with the protasis (if) and uses the reality of the apodosis (then) to deny it. Christ is risen from the dead, which means there is a resurrection of the dead.

Example 5: …ὅτι νῦν **ζῶμεν**, **ἐὰν** ὑμεῖς **στήκετε** ἐν κυρίῳ.
because now **we live**, **if** you **stand firm** in the Lord.

The apodosis is before protasis and ἐάν appears with the indicative mood.

Example 6: **Εἰ** υἱὸς **εἶ** τοῦ θεοῦ, **εἰπὲ** τῷ λίθῳ τούτῳ…
If you are the Son of God, **speak** to this stone…

The apodosis has an imperative.

29.5.2 Second Class Conditions

This condition presents something as contrary to fact.

"If" (Protasis)	**"then" (Apodosis)**
εἰ + imperfect or aorist indicative	(ἄν) + imperfect or aorist indicative

Example 7: Ἀπεκρίθη Ἰησοῦς, Οὐκ **εἶχες** ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, **εἰ** μὴ **ἦν** σοι **δεδομένον** ἄνωθεν·
Jesus answered, "**You would** not **have** any authority over me unless **it had been given** to you from above.

Example 8: Οὗτος, **εἰ ἦν** προφήτης, **ἐγίνωσκεν ἂν** τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν.
If He were a prophet, **He would know** who and what sort of woman that is touching him…

The imperfect and aorist tenses do not **always** refer to past time. This conditional statement refers to the present time of the discussion. Often the imperfect is used of present second class conditions and the aorist is used if it is referring to a time prior to the statement. However, the context must always be the final determiner of the time reference.

Example 9: **εἰ** γὰρ **ἦσαν** ἐξ ἡμῶν, **μεμενήκεισαν ἂν** μεθ' ἡμῶν·
For **if** they **were** from us, **they would have remained** with us.

Observe the perfect tense in the apodosis.

29.5.3 Third Class Conditions

This class presents something that may have future fulfillment (future more probable) or that occurs generally at any time (present general). Some grammars categorize the second use as 5th class even though the structure may be identical.

"If" (Protasis)	"then" (Apodosis)
ἐάν + subjunctive	any tense or mood

Future More Probable

Example 10: Κύριε, **ἐὰν θέλῃς**, **δύνασαί** με καθαρίσαι.·
Lord, **if you want**, **you are able** to heal me.

Example 11: **Ἐάν** τις **ἴδῃ** τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, **αἰτήσει**, καὶ **δώσει** αὐτῷ ζωήν…
If anyone **should see** his brother sinning a sin not unto death, **he will ask** and **He will give** to him life…

Present General

Example 12: Καὶ **ἐὰν ἀγαθοποιῆτε** τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις **ἐστίν**;
And **if you should do good** to those who do good to you, what good **does it do** you?

Example 13: Καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι **ἐάν** τι **αἰτώμεθα** κατὰ τὸ θέλημα αὐτοῦ, **ἀκούει** ἡμῶν·
And this is the confidence that we have with Him that, if **we should ask** anything according to His will, **He hears** us.

29.5.4 Fourth Class Conditions

This class presents something with less probability of occurring. There are no complete examples in the New Testament.

"If" (Protasis)	"then" (Apodosis)
εἰ + optative	(ἄν) + optative

29.6 EXERCISES

Read the following sentences out loud and then translate them. For the first 30 exercises, parse the word in **bold**. Also, categorize any conditions in the first 30 exercises as first, second, third, or fourth class.

1. Καὶ οἱ **ἀπεσταλμένοι** ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:24-26)

2. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος (Nicodemus) ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜ αὐτὸν ⌝ **νυκτός**, καὶ εἶπεν αὐτῷ, Ῥαββί (Rabbi), οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ.

3. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος **λαμβάνειν** οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:27-29)

4. Ἐὰν ἐγὼ **μαρτυρῶ** περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

5. Ἐγὼ **ἐλήλυθα** ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω (will accuse) ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν (one who accuses) ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε (you have hoped). Εἰ γὰρ ἐπιστεύετε ⌜ Μωσῇ, ⌝ ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:43-47)

6. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ **καταβάς**· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

7. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ **πίητε** αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων (He who eats) μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ⌜ τῇ ⌝ ἐσχάτῃ ἡμέρᾳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:53-54)

8. Εἰ ταῦτα ποιεῖς, **φανέρωσον** σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν…

9. Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα. Καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. Καὶ ἐν τῷ νόμῳ δὲ τῷ

ὑμετέρῳ (your) **γέγραπται** ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:15-18)

10. Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ **πιστεύσητε** ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Ἔλεγον οὖν αὐτῷ, Σὺ τίς εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον. Οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

11. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ **ἦτε**, τὰ ἔργα τοῦ Ἀβραὰμ ⌜ ἐποιεῖτε. ⌝ Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:39-40)

12. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, **ἠγαπᾶτε** ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. Διὰ τί τὴν λαλιὰν (word) τὴν ἐμὴν οὐ γινώσκετε; Ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

13. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν **ἐγνώκαμεν** ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται (he will … taste) θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μείζων (greater) εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν; Καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν, καὶ οὐκ ἐγνώκατε αὐτόν· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:51-55)

14. Ὁ δὲ ἔφη, Πιστεύω, κύριε· καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ **γένωνται**. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

15. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, **σωθήσεται**, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν (pasture) εὑρήσει. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:9)

16. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ ἔστιν **γεγραμμένον** ἐν τῷ νόμῳ ὑμῶν, Ἐγὼ εἶπα, Θεοί ἐστε; Εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο - καὶ οὐ δύναται λυθῆναι ἡ γραφή - ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς τοῦ θεοῦ εἰμι; Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν (and if) ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ.

17. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Οὐκ εἶπόν σοι, ὅτι ἐὰν **πιστεύσῃς**, ὄψει τὴν δόξαν τοῦ θεοῦ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:40)

18. **Συνήγαγον** οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον (Sanhedrin), καὶ ἔλεγον, Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ. Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες

πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι (Romans) καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

19. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα **ἀγαπᾶτε** ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:34-35)

20. Πορεύομαι **ἑτοιμάσαι** τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ ⌜ ἑτοιμάσω ⌝ ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς (Thomas), Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

21. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον (comforter) δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. Οὐκ **ἀφήσω** ὑμᾶς ὀρφανούς (orphans)· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτόν… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:15-21)

22. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν **μεμίσηκεν**.

23. Εἰ ἐμὲ **ἐδίωξαν**, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον (yours) τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:20-22)

24. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν **πατέρα** μου.

25. εἶπεν πρὸς αὐτούς, Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν, Ἀλλ' οὐδὲ εἰ **πνεῦμα** ἅγιόν ἐστιν, ἠκούσαμεν. Εἶπέν τε πρὸς αὐτούς, Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον, Εἰς τὸ Ἰωάννου βάπτισμα (baptism). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:2-3)

26. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ (centurion) καὶ τοῖς στρατιώταις (soldiers), Ἐὰν μὴ οὗτοι **μείνωσιν** ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

27. Τί οὖν **ἐροῦμεν** Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα (boast), ἀλλ' οὐ πρὸς τὸν θεόν. Τί γὰρ ἡ γραφὴ λέγει; Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα (debt). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:1-4)

